AB
154832

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0001-1

Dk Nf 157
Le
M-s. 1992
3626.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0002-6

Contenta:

1. Fischers: Preussens und Frankreichs Revolution
2. Liberalis transformationum congeries graec.
3. C. F. Bahrdt observationes criticae circa lectionum Codicum Mss. hebr.
4. Briefe von Lorenz Sterne

J. A. G. Mewes
1795. 2½

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0003-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0004-7

# ANTONINI LIBERALIS
# TRANSFORMATIONUM
CONGERIES
GRAECE
CUM
GABRIAE SEU IGNATII DIACONI
FABULIS JAMBICIS
TETRASTICHIS
ET
BABRII NONNULLIS
IN USUM SCHOLARUM
EDIDIT
LUDOVICUS HENRICUS TEUCHERUS.

LIPSIAE,
APUD GUILIELMUM GOTLOB SOMMER
MDCCXCI.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0005-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0006-8

# EDITOR LECTORIBUS SALUTEM.

Antoninus Liberalis eſt ſcriptor ea orationes puritate ac ſinceritate, ut ejus lectio tironibus Graece diſcentibus magnopere commendari mereatur. Itaque nos omnem operam dedimus, ut haec nova libelli hujus editio ſcholarum uſibus deſtinata, quam fieri poſſet correctiſſima et emendatiſſima prodiret. Contextum refinximus ſecundum ea quae admonuerunt edi-

editores, Xylander, Berkelius, Galeus, Munckerus et Verheykius. Notas noſtras adjicere, poſt illa quae ab his viris doctiſſimis ſunt tam egregie in hunc ſcriptorem annotata, non opus eſſe duximus: unum tamen ad caput quartum, quod Κραγαλεὺς inſcribitur, admonere licebit. In eo capite verba ὅτε τὰς Γηρυόνȣ βȣ̃ς συνελθόντες ἀφελέσθαι varie emendare conati ſunt viri eruditi: Berkelius enim συνῆλθον τȣ̃ ἀφελέσθαι, Munckerus συνῆλθον τὸ ἀφελέσθαι, Palmerus et Galeus συνῆλθον, Dorvillius συνελθόντες ἦσαν, Hemſterhuſius denique συνελθόντες ἤθελον ante ἀφελέσθαι legendum exiſtimat. Defendi poſſe nos putamus lectionem vulgatam, ὅτε συνελθόντες ἀφελέσθαι, ſi dicamus ὅτε ſtructum eſſe cum infinitivo, ut ſit pro ὅτε ἀφείλοντο, quemadmodum Plutarchus in

Pericle

Pericle ſcribit ὅτε αὐτὸν ἁλᾶσθαι, pro ὅτε αὐτὸς ἁλᾶτο, ſed συνελθόντες in obliqua oratione dictum eſſe loco συνελθόντας, ſicut in eodem capite αὐτὸς χαρίζεσθαι pro αὐτὸν χαρίζεσθαι, αὐτὸς παῦσαι pro αὐτὸν παῦσαι, αὐτὴ προφῆναι pro αὐτὴν προφῆναι, et capite XXVII. εἶπεν αὐτὴ τεκεῖν loco εἶπεν αὐτὴν τεκεῖν poſitum invenitur. Adjecimus denique libello huic fabulas Gabriae, qui etiam Ignatius Diaconus vocatur, jambis quaternis ſcriptas, numero LIV, itaque plures, quam plerumque in libris editae reperiri ſolent, et praeterea Babrii fabulas quotquot integras habemus, ſcazontibus conſcriptas addidimus. Caeterum ſi haec noſtra editio placebit intelligentibus, atque ad uſum tironum accommodata videbitur, ea res non parum augebit et acuet in no-

bis voluntatem, quodcunque operae nostrae poterimus ad juventutis literarum studiosae, atque etiam in universum ad reipublicae literariae fructum et utilitatem conferendi. Scr. Lipsiae mense Octobri MDCCXC.

---

ANTΩ-

# ΑΝΤΩΝΙΝΟΥ ΛΙΒΕΡΑΛΙΣ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ ΣΥΝΑΓΩΓΗ.

## α΄. ΚΤΗΣΥΛΛΑ.

Ἱστορεῖ Νίκανδρος Ἑτεροιουμένων γ΄.

Κτήσυλλα ἐγένετο Κεία τὸ γένος ἐξ Ἰουλίδος, Ἀλκιδάμαντος θυγάτηρ· ταύτην ἰδὼν Ἑρμοχάρης Ἀθηναῖος χορεύουσαν Πυθίοις παρὰ τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν Καρθαίᾳ, ἐπεθύμησεν αὐτῆς· καὶ ἐπιγράψας μῆλον, ἔρριψεν ἐν τῷ ἱερῷ τῆς Ἀρτέμιδος· ἡ δὲ ἀνείλετο, καὶ ἀνέγνω· ἐγέγραπτο δὲ ὅρκος κατὰ τῆς Ἀρτέμιδος, ἦ μὴν γαμηθήσεσθαι Ἑρμοχάρει Ἀθηναίῳ· ἡ μὲν οὖν Κτήσυλλα ἀπέρριψε τὸ μῆλον αἰδεσθεῖσα, καὶ χαλεπῶς ἤνεγκεν, ὥσπερ ὅτε Κυδίππην Ἀκόντιος ἐξηπάτησεν. Ἑρμοχάρει δὲ αἰτησα-

μένῳ

μένῳ κατήνεσε τὸν γάμον ὁ πατὴρ ὁ τῆς Κτησύλλης, καὶ ὤμοσε τὸν Ἀπόλλωνα τῆς δάφνης ἁψάμενος· ἐπεὶ δὲ διῆλθεν ὁ τῶν Πυθίων χρόνος, Ἀλκιδάμας ἐκλαθόμενος τὸν ὅρκον, ὃν ὤμοσεν, ἑτέρῳ συνῴκιζε τὴν θυγατέρα· καὶ ἡ παῖς εθυεν ἐν τῷ τῆς Αρτέμιδος ἱερῷ· χαλεπῶς δὲ φέρων Ἑρμοχάρης ἐπὶ τῷ τούτου διαμαρτεῖν, εἰσέδραμεν εἰς τὸ Ἀρτεμίσιον· καὶ ἡ παῖς αὐτὸν ἰδοῦσα κατὰ θεῖον ἠράσθη· καὶ συνθεμένη διὰ τῆς τροφοῦ, διαλαθοῦσα τὸν πατέρα, νύχιον ἀπέπλευσεν εἰς τὰς Ἀθήνας, καὶ γάμος ἐπράχθη τῷ Ἑρμοχάρει· τεκοῦσα δ' ἡ Κτήσυλλα, καὶ χαλεπῶς ἐκ τοῦ τόκου διατεθεῖσα, ἐτελεύτησε κατὰ δαίμονα, ὅτι ὁ πατὴρ αὐτῆς ἐψεύσατο τὸν ὅρκον· καὶ τὸ μὲν σῶμα κομίσαντες ἔφερον ὅπως κηδεύσωσιν· ἐκ δὲ τῆς στρωμνῆς πελειὰς ἐξέπτη, καὶ τὸ σῶμα τῆς Κτησύλλης ἀφανὲς ἐγένετο. Χρωμένῳ δ' Ἑρμοχάρει ὁ θεὸς ἀνεῖπεν ἱδρύσασθαι ἱερὸν παρὰ τοῖς Ἰουλιήταις, ἐπώνυμον Ἀφροδίτης Κτησύλλης· ἔχρησε δὲ καὶ τοῖς Κείοις· οἱ δὲ θύουσιν ἄχρι νῦν Ἰουλιῆται μὲν Ἀφροδίτῃ, Κτήσυλλαν ὀνομάζοντες, οἱ δὲ ἄλλοι Κτήσυλλαν Ἑκαέργην.

β'. ΜΕ-

# β'. ΜΕΛΕΑΓΡΙΔΕΣ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ'.

Οἰνεὺς ὁ Πορθέως τοῦ Ἄρεως ἐβασίλευσεν ἐν Καλυδῶνι· καὶ ἐγένοντο αὐτῷ ἐξ Ἀλθαίας τῆς Θεστίου, Μελέαγρος, Φηρεὺς, Ἀγέλεως, Τοξεὺς, Κλύμενος, Περίφας· θυγατέρες δὲ Γόργη, Εὐρυμήδη, Δηϊάνειρα, Μελανίππη· ἐπεὶ δ' ἔθυεν ἀπαρχὰς ὑπὲρ τῆς χώρας, ἐκλανθάνεται τῆς Ἀρτέμιδος· αὕτη κατὰ μῆνιν ἐφορμᾷ σῦν ἄγριον, ὃς κατέφθειρε τὴν γῆν, καὶ πολλοὺς ἀπέκτεινεν· ἔπειτα Μελέαγρος, καὶ οἱ Θεστίου παῖδες συνήγειραν τοὺς ἀριστέας ἐκ τῆς Ἑλλάδος ἐπὶ τὸν σῦν· οἱ δὲ ἀφικόμενοι, κτείνουσιν αὐτόν· ὁ δὲ Μελέαγρος διανείμας τὰ κρέα αὐτοῦ τοῖς ἀριστεῦσιν, τὴν κεφαλὴν καὶ τὸ δέρος ἐξαιρεῖ γέρας ἑαυτῷ. Ἄρτεμις δὲ ἐπεὶ τὸν ἱερὸν σῦν ἔκτειναν, ἔτι μᾶλλον ἐχολώθη, καὶ νεῖκος ἐνέβαλεν αὐτοῖς· οἱ γὰρ παῖδες οἱ Θεστίου, καὶ οἱ ἄλλοι Κουρῆτες ἅπτονται τοῦ δέρους, φάμενοι μετεῖναι τὰ ἡμίσεια τῶν γερῶν ἑαυτοῖς· Μελέαγρος ἀφαιρεῖται κατὰ βίαν, καὶ κτείνει τοὺς Θεστίου παῖδας. Ἐκ ταύτης τῆς προφάσεως πόλεμος ἐγένετο

νετο Κουρῆσι καὶ Καλυδωνίοις· καὶ ὁ Μελέαγρος εἰς τὸν πόλεμον οὐκ ἐξῄει, μεμφόμενος, ὅτι αὐτῷ κατηράσατο ἡ μήτηρ διὰ τὸν τῶν ἀδελφῶν θάνατον· ἤδη δὲ τῶν Κουρήτων μελλόντων αἱρεῖν τὴν πόλιν, ἔπεισε τὸν Μελέαγρον ἡ γυνὴ Κλεοπάτρα τοῖς Καλυδωνίοις ἀμῦναι· ὁ δὲ ἀναστὰς ἐπὶ τὸν στρατὸν τῶν Κουρήτων, καὶ αὐτὸς ἀποθνήσκει, τῆς μητρὸς ἐμπρησάσης τὸν παρὰ τῶν μοιρῶν αὐτῇ δοθέντα δαλόν. Ἐπέκλωσαν γὰρ ἐπὶ τοσοῦτον αὐτὸν ἔσεσθαι χρόνον, ἐφ᾽ ὅσον ἂν ὁ δαλὸς διαμένῃ· ἀπέθανον δὲ καὶ οἱ ἄλλοι παῖδες Οἰνέως μαχόμενοι, καὶ πένθος ἐπὶ Μελεάγρῳ μέγιστον ἐγένετο παρὰ Καλυδωνίοις. Αἱ δὲ ἀδελφαὶ αὐτοῦ παρὰ τὸ σῆμα ἐθρήνουν ἀδιαλείπτως, ἄχρις αὐτὰς Ἄρτεμις ἁψαμένη ῥάβδῳ μετεμόρφωσεν εἰς ὄρνιθας, καὶ ἀπῴκισεν εἰς Λέρον τὴν νῆσον, ὀνομάσασα Μελεαγρίδας· αἱ δὲ ἄχρι νῦν ἔτι καθ᾽ ὥραν ἔτους λέγονται πένθος ἐπὶ Μελεάγρῳ φέρειν· δύο δὲ τῶν Ἀλθαίας θυγατέρων, Γόργην καὶ Δηϊάνειραν φασὶ κατ᾽ εὐμένειαν Διονύσου μὴ μεταβαλεῖν, ὅτι τὴν χάριν ταύτην αὐτῷ Ἄρτεμις ἐδίδου.

γ. ΙΕΡΑΞ.

# γ'. ΙΕΡΑΞ.

Ἱστορεῖ Βοῖος Ὀρνιθογονίᾳ.

Ἱέραξ ἐγένετο ἐν τῇ Μαριανδυνῶν γῇ δίκαιος ἀνὴρ καὶ ἐπιφανής· οὗτος ἱερὰ Δήμητρος ἱδρύσατο, καὶ πλείστους αὐτῆς καρποὺς ἔλαβεν· ἐπεὶ δὲ Τεῦκροι κατὰ χρόνον τὸν ἱκνούμενον οὐκ ἀπεδίδοσαν ἱερὰ Ποσειδῶνι, ἀλλὰ ὑπ' ὀλιγωρίας ἐξέλειπον, χαλεπήνας Ποσειδῶν τοὺς μὲν ἐκείνης καρποὺς ἔφειρε· κῆτος δ' ἐξαίσιον ἐκ τῆς θαλάσσης ἐφώρμησεν αὐτοῖς· οὐ δυνάμενοι δὲ πρὸς τὸ κῆτος καὶ τὸν λιμὸν ἀντέχειν, ἀπέστελλον οἱ Τεῦκροι πρὸς τὸν Ἱέρακα, καὶ ἐδέοντο πρὸς τὸν λιμὸν ἐπαμῦναι, κἀκεῖνος ἔπεμπέ τε καὶ πυρὸν καὶ ἄλλην τροφήν· Ποσειδῶν δὲ μηνίσας, ἐπεὶ κατέλυεν αὐτοῦ τὰς τιμὰς, ἐποίησεν ὄρνιθα, ὃς ὀνομάζεται νῦν ἱέραξ· καὶ τὸ ἦθος ἤλλαξεν, ἀφανίσας· μέγιστα γὰρ ὑπ' ἀνθρώπων φιληθέντα πλεῖστον ἐποίησεν ὑπὸ τῶν ὀρνέων μισηθῆναι, καὶ πολλοὺς ἀνθρώπους ἀποθανεῖν κωλύσαντα, πλείστους ἐποίησεν αὐτὸν ὀρνίθων ἀποκτεῖναι.

## δ'. ΚΡΑΓΑΛΕΥΣ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α', καὶ Ἀθανάδας Ἀμβρακικοῖς.

Κραγαλεὺς ὁ Δρύοπος ᾤκει γῆς τῆς Δρυοπίδος παρὰ τὰ λουτρὰ τὰ Ἡρακλέους, ἃ μυθολογοῦσιν Ἡρακλέα πλήξαντα τῇ κορύνῃ τὰς πλάκας τοῦ ὄρους ἀναβαλεῖν· ὁ δὲ Κραγαλεὺς οὗτος ἐγεγόνει γεραιὸς ἤδη, καὶ τοῖς ἐγχωρίοις ἐνομίζετο δίκαιος εἶναι, καὶ φρόνιμος· καὶ αὐτῷ νέμοντι βοῦς προσάγουσιν Ἀπόλλων καὶ Ἄρτεμις καὶ Ἡρακλῆς κριθησόμενοι περὶ Ἀμβρακίας τῆς ἐν Ἠπείρῳ· καὶ ὁ μὲν Ἀπόλλων ἑαυτῷ προσήκειν ἔλεγε τὴν πόλιν, ὅτι Μελανεὺς υἱὸς ἦν αὐτοῦ, βασιλεύσας μὲν Δρυόπων, καὶ πολέμῳ λαβὼν τὴν πᾶσαν Ἤπειρον, γεννήσας δὲ παῖδας Εὔρυτον καὶ Ἀμβρακίαν, ἐφ᾽ ἧς ἡ πόλις Ἀμβρακία καλεῖται· καὶ αὐτὸς μέγιστα χαρίσασθαι ταύτῃ τῇ πόλει· Σισυφίδας μὲν γὰρ αὐτοῦ προσάξαντος ἀφικομένους, κατορθῶσαι τὸν πόλεμον Ἀμβρακιώταις, τὸν γενόμενον αὐτοῖς πρὸς Ἠπειρώτας· Τόργον δὲ τὸν ἀδελφὸν Κυψέλου κατὰ τοὺς αὐτοῦ χρησμοὺς λαὸν ἔποικον ἀγαγεῖν εἰς Ἀμβρακίαν ἐκ Κορίνθου·

Φα-

Φαλαικῷ δὲ τυραννοῦντι τῆς πόλεως αὐτοῦ κατὰ μαντείαν Ἀμβρακιώτας ἐπαναστῆσαι· καὶ παρὰ τοῦτο πολλοὺς ἀπολέσθαι τὸν Φάλαικον· τὸ δὲ ὅλον αὐτὸς ἐν τῇ πόλει παῦσαι πλειστάκις ἐμφύλιον πόλεμον καὶ ἔριδας, καὶ στάσιν, ἐμποιῆσαι ἀντὶ τούτων δ' εὐνομίαν καὶ θέμιν καὶ δίκην· ὅθεν αὐτὸν ἔτι νῦν παρὰ τοῖς Ἀμβρακιώταις σωτῆρα Πύθιον ἐν ἑορταῖς καὶ εἰλαπίναις ᾄδεσθαι. Ἄρτεμις δὲ τὸ μὲν νεῖκος κατέπαυε τὸ πρὸς τὸν Ἀπόλλωνα· παρ' ἑκόντος δ' ἠξίου τὴν Ἀμβρακίαν ἔχειν· ἐφίεσθαι γὰρ τῆς πόλεως κατὰ πρόφασιν τοιαύτην· ὅτε Φάλαικος ἐτυράννευε τῆς πόλεως, οὐδενὸς αὐτὸν δυναμένου κατὰ δέος ἀνελεῖν, αὐτὴ κυνηγετοῦντι τῷ Φαλαίκῳ προφῆναι σκύμνον λέοντος· ἀναλαβόντος δὲ εἰς τὰς χεῖρας, ἐκδραμεῖν ἐκ τῆς ὕλης τὴν μητέρα, καὶ προσπεσοῦσαν ἀναῤῥῆξαι τὰ στέρνα τοῦ Φαλαίκου· τοὺς δὲ Ἀμβρακιώτας ἐκφυγόντας τὴν δουλείαν, Ἄρτεμιν ἡγεμόνην ἱλάσασθαι· καὶ ποιησαμένους ἀγροτέρης εἴκασμα παραστήσασθαι χάλκεον αὐτῷ θῆρα· ὁ δὲ Ἡρακλῆς ἀπεδείκνυεν Ἀμβρακίαν τε, καὶ τὴν σύμπασαν Ἤπειρον οὖσαν ἑαυτοῦ· πολεμήσαντας γὰρ αὐτῷ Κελτοὺς καὶ Χάονας, καὶ Θεσπρωτοὺς, καὶ σύμπαντας Ἠπειρώτας ὑπ' αὐτοῦ κρατηθῆναι, ὅτε τὰς Γηρυόνου βοῦς συνελθόντες ἀφελέσθαι· χρόνῳ δ' ὕστερον λαὸν ἐποι-

ἔποικον ἐλθεῖν ἐκ Κορίνθȣ, καὶ τȣ̀ς πρόσθεν ἀναςήσαντας Ἀμβρακίαν συνοικίσαι· Κορίνθιοι δὲ πάντες εἰσὶν ἀφ᾽ Ἡρακλέȣς· ἃ διακȣ́σας ὁ Κραγαλεὺς, ἔγνω τὴν πόλιν Ἡρακλέȣς εἶναι· Ἀπόλλων δὲ κατ᾽ ὀργὴν ἁψάμενος αὐτȣ̃ τῇ χειρὶ, πέτρον ἐποίησεν, ἵναπερ εἱςήκει· Ἀμβρακιῶται δὲ Ἀπόλλωνι μὲν σωτῆρι θύȣσι, τὴν δὲ πόλιν Ἡρακλέȣς καὶ τῶν ἐκείνȣ παίδων νενομίκασι· Κραγαλεῖ δε μετὰ τὴν ἑορτὴν τὴν Ἡρακλέȣς ἔντομα θύȣσιν ἄχρι νῦν.

---

## ε. ΑΙΓΥΠΙΟΣ.

Ἱςορεῖ Βοῖος Ὀρνιθογονίας α.

Ἀνθέος τȣ̃ Νομίονος ἐγένετο παῖς Αἰγύπιος, ᾤκει δὲ παρὰ τὴν ἐσχατιὰν τῆς Θεσσαλίας· και αὐτὸν ἐφίλησαν θεοὶ ὁσιότητος ἕνεκα, καὶ ἄνθρωποι, ὅτι ἦν μεγαλόφρων καὶ δίκαιος· ȣ̃τος ἰδὼν Τιμάνδρην ἠράσθη· μαθὼν δ᾽ ὅτι ἀνδρὸς ἦν χήρα, πείσας χρήμασιν, ἐμίγνυτο φοιτῶν εἰς τὰ ἐκείνης οἰκεῖα· πρὸς δὲ τȣ̃το Νεόφρων ὁ παῖς τῆς Τιμάνδρης χαλεπῶς εἶχε τῷ Αἰγυπίῳ δ᾽ ἦν ἡλικιώτης· κἀκείνῳ δόλον ἐβȣ́λευε, δȣ̀ς πλεῖςα δῶρα, καὶ ἀναπείσας

πείσας Βουλίδα τὴν Αἰγυπίου μητέρα, καὶ ἀγαγὼν εἰς τὰ οἰκεῖα εὐνάζεται σὺν αὐτῇ· προμαθὼν δὲ τὴν ὥραν, ἣν εἰώθει παρὰ Τιμάνδρην ὁ Αἰγυπιὸς φοιτᾶν, τὴν μὲν αὑτοῦ μητέρα καθ᾽ ἥντινα πρόφασιν ἐκ τῆς οἰκίας μετέστησεν· ἀντὶ δ᾽ ἐκείνης τὴν Αἰγυπιοῦ μητέρα παρήγαγεν εἰς τὸν οἶκον, ὡς ἐπανήξων πρὸς αὐτὴν, καὶ ἀμφοτέρους ἐξηπάτησεν. Αἰγυπιὸς δ᾽ οὐδὲν ἐπιλεξάμενος ὧν εἰς αὐτὸν ἐμηχανᾶτο Νεόφρων, μίγνυται τῇ μητρὶ, δοκῶν εἶναι Τιμάνδρην· καὶ ἐπεὶ αὐτὸν ὕπνος ἔλαβεν, ἡ Βουλὶς ἔγνω τὸν παῖδα τὸν ἑαυτῆς, καὶ ἀναλαβοῦσα ξίφος, ἐβούλευεν ἐκείνου μὲν τὰς ὄψεις ἀφελέσθαι, ἑαυτὴν δὲ κτεῖναι· βουλῇ δ᾽ Ἀπόλλωνος ἀνίησι τὸν Αἰγυπιὸν ὁ ὕπνος· ὁ δὲ γνοὺς οἷον ἔργον ἐμηχανήσατο Νεόφρων ἐπ᾽ αὐτῷ, καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψας, ηὔξατο σὺν ἑαυτῷ πάντα ἀφανισθῆναι· Ζεὺς δὲ μετέβαλεν εἰς ὄρνιθας· καὶ ἐγένοντο Αἰγυπιὸς μὲν καὶ Νεόφρων αἰγυπιοὶ ὁμώνυμοι, χρόαν δὲ καὶ μέγεθος οὐχ ὅμοιοι, ἀλλὰ ἐλάττων ὄρνις Αἰγυπιὸς ἐγένετο Νεόφρων· ἡ δὲ Βουλὶς ἐγένετο πώϋγξ, καὶ αὐτῇ τροφὴν ἔδωκεν ὁ Ζεὺς, μηδὲν ἐκ γῆς φυόμενον, ἀλλὰ ἐσθίειν ὀφθαλμοὺς ἰχθύος, ἢ ὄρνιθος, ἢ ὄφεως, ὅτι ἔμελλεν Αἰγυπιοῦ τοῦ παιδὸς ἀφελέσθαι τὰς ὄψεις· Τιμάνδρην δὲ ἐποίησεν αἰγιθαλλὸν, καὶ ἐφάνησαν ἐπὶ ταὐτὸν οὐδέποθ᾽ οἱ ὄρνιθες οὗτοι.

ϛʹ. ΠΕ-

## ϛ. ΠΕΡΙΦΑΣ.

Περίφας ἐγένετο ἐν τῇ Ἀττικῇ αὐτόχθων, πρόσθεν ἢ φανῆναι Κέκροπα τὸν γῆς· ὅτος ἐβασίλευσε τῶν ἀρχαίων ἀνθρώπων, καὶ ἐγένετο δίκαιος, καὶ πλέσιος, καὶ ὅσιος, καὶ ἱερὰ πλεῖςα ἐποίησεν Ἀπόλλωνι, δίκας τε πλείςας ἐδίκασε, καὶ αὐτὸν ἐμέμψατ' ἄνθρωπος ὅδεὶς, ἀλλὰ ἑκόντων ἦρεῖτο πάντων, καὶ πρὸς ὑπερβολὴν αὐτῦ τῶν ἔργων, μετέβαλον οἱ ἄνθρωποι τὰς τιμὰς τῦ Διὸς, καὶ ἔγνωσαν αὐτὰς εἶναι Περίφαντος, καὶ ἱερὰ καὶ ναὺς ἐποίησαν αὐτῦ, καὶ Δία Σωτῆρα προσηγόρευσαν καὶ Ἐπόψιον καὶ Μειλίχιον· Ζεὺς δὲ νεμεσήσας, ἐβϐλετο μὲν σύμπασαν αὐτῦ τὴν οἰκίαν κεραυνῷ συμφλέξαι· δεηθέντος δ' Ἀπόλλωνος μὴ αὐτὸν ἀπολέσθαι πανώλεθρον, ἐπείπερ ἴσως αὐτὸν ἐτίμα, τῦτο μὲν Ἀπόλλωνι δίδωσι· Ζεὺς δ' ἐλθὼν εἰς τὰ οἰκία τῦ Περίφαντος, καὶ καταλαβὼν ὁμιλῦντα τῇ γυναικὶ, πιέσας ἀμφοτέραις ταῖς χερσὶν, ἐποίησεν ὄρνιθα αἰετόν· τὴν δὲ γυναῖκα αὐτῦ, δεηθεῖσαν καὶ αὐτὴν ὄρνιθα ποιῆσαι σύννομον τῷ Περίφαντι, ἐποίησε φήνην· καὶ τῷ μὲν Περίφαντι δωρεῖται τιμὰς ἀντὶ τῶν ἐν ἀνθρώποις ὁσιότητος· ποιεῖ γὰρ

γὰρ αὐτὸν ἐν πᾶσι τοῖς ὄρνισι βασιλέα, καὶ δίδοῖ φυλάσσειν τὸ ἱερὸν σκῆπτρον, καὶ προσιέναι πρὸς τὸν ἑαυτȣ̃ θρόνον· τῇ γυναικὶ δὲ τȣ̃ Περίφαντος, ἣν ἐποίησε φήνην, δίδοῖ πρὸς ἅπασαν πρᾶξιν ἀνθρώποις αἰσίαν ἐπιφαίνεσθαι.

---

## ζ. ΑΝΘΟΣ.

Ἱςορεῖ Βοῖος ὀρνιθογονίας ά.

Αὐτονόȣ τȣ̃ Μελανέως καὶ Ἱπποδαμείας ἐγένοντο υἱοὶ μὲν Ἐρωδιὸς καὶ Ἄνθος, Σχοινεὺς, Ἄκανθος, θυγάτηρ δὲ Ἀκανθὶς, ᾗ κάλλιςον εἶδος ἔδωκαν οἱ θεοί· τῷ δὲ Αὐτονόῳ τȣ́τῳ ἐγένοντο ἵππων ἀγέλαι πλεῖςαι, καὶ ἔνεμον αὐτὰς Ἱπποδάμεια τȣ́τȣ γυνὴ, καὶ οἱ παῖδες αὐτῶν· ἐπεὶ δὲ Αὐτονόῳ, γῆν ἔχοντι πλείςην, ȣ̓δεὶς καρπὸς ἐφαίνετο κατ᾽ ὀλιγωρίαν ἔργων, ἀλλ᾽ ἔφερεν αὐτῷ σχοίνȣς ὁ χῶρος καὶ ἀκάνθας, ἀπ᾽ αὐτῶν ὠνόμασε τȣ̀ς παῖδας, Ἄκανθον καὶ Σχοινέα, καὶ Ἀκανθίδα, καὶ τὸν πρεσβύτατον Ἐρωδιὸν, ἐπεὶ αὐτὸν ἠρώησεν ὁ χῶρος· ȣ̃τος ὁ Ἐρωδιὸς πλεῖςον ἐφίλησε τὰς ἀγέλας τῶν ἵππων, καὶ ἔτρεφεν αὐτὰς ἐν τῷ λειμῶνι· ἐπεὶ δὲ Ἄνθος τȣ̃ Αὐτονόȣ παῖς ἐξήλασε τὰς ἵππȣς ἐκ τȣ̃

λειμῶνος, αὗται εἰργόμεναι τροφῆς, ἐξεθύμηναν, καὶ τὸν Ἄνθον ἐπιστᾶσαι κατεβίβρωσκον πλεῖστα ἐπιβοώμενον ἀμῦναι τοὺς θεούς· ὁ μὲν οὖν πατὴρ ὑπὸ ἄχους ἐκπλαγεὶς, ὤκνησεν ἀπελάσαι τὰς ἵππους, καὶ ὁ θεράπων τοῦ παιδός· ἡ δὲ μήτηρ διεμάχετο πρὸς τὰς ἵππους, ἀλλὰ διὰ τὴν τοῦ σώματος ἀσθένειαν οὐδὲν ἐδυνήθη πρὸς τὸν ὄλεθρον ἐπαμῦναι· κἀκεῖνοι μὲν οὔπω τεθνεῶτα τὸν Ἄνθον ἔκλαιον· Ζεὺς δὲ καὶ Ἀπόλλων οἰκτείραντες πάντας αὐτοὺς ἐποίησαν ὄρνιθας, Αὐτόνοον μὲν τὸν ὄκνον, ὅτι αὐτοῦ ὁ πατὴρ ὤκνησεν ἀπελάσαι τὰς ἵππους, τὴν δὲ μητέρα κορυδὸν, ὅτι ἐκορύσσετο πρὸς τὰς ἵππους, μαχομένη περὶ τοῦ παιδός· αὐτὸν δὲ τὸν Ἄνθον, καὶ τὸν Ἐρωδιὸν, καὶ Σχοινέα, καὶ Ἄκανθον καὶ Ἀκανθυλλίδα γενομένους ὄρνιθας, τῷ αὐτῷ ἐποίησαν ὀνόματι καλεῖσθαι, καθὰ καὶ πρὶν ἢ μεταβαλεῖν αὐτοὺς ὠνομάζοντο· τὸν δὲ θεράποντα τὸν ὀπηδὸν τοῦ Ἄνθου κατὰ τ' αὐτὰ τῷ ἀδελφῷ τοῦ παιδὸς ἐποίησαν ἐρωδιὸν, ἀλλ' οὐχ ὅμοιον· ἧσσων γάρ ἐστιν ἱκανῶς τοῦ πελλοῦ· καὶ οὐ γίνεται σύνεδρος οὗτος ὁ Ἐρωδιὸς Ἄνθῳ, καθάπερ οὐδ' ὁ Ἄνθος τῷ ἵππῳ, ὅτι μέγιστα κακὰ ἔπαθεν ὁ Ἄνθος ὑπὸ τῶν ἵππων· καὶ ἔτι νῦν ὅταν ἀκούσῃ φωνοῦντος ἵππου, φεύγει μιμούμενος ἅμα τὴν φωνήν.

ή. ΛΑ.

## η'. ΛΑΜΙΑ ἢ ΣΥΒΑΡΙΣ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Παρὰ τὰ σφυρὰ τοῦ Παρνασσοῦ πρὸς νότον, ὄρος ἐστὶν, ὃ καλεῖται Κιρφὶς, παρὰ τὴν Κρίσαν, καὶ ἐν αὐτῷ ἐστιν ἔτι νῦν σπήλαιον ὑπερμέγεθες, ἐν ᾧ θηρίον ᾤκει μέγα καὶ ὑπερφυὲς, καὶ αὐτὸ Λαμίαν, οἱ δὲ Σύβαριν ὠνόμαζον· τοῦτο καθ' ἡμέραν ἑκάστην τὸ θηρίον ἐπιφοιτῶν ἀνήρπασεν ἐκ τῶν ἀγρῶν τὰ θρέμματα καὶ τοὺς ἀνθρώπους· ἤδη δὲ τῶν Δελφῶν βουλευομένων ὑπὲρ ἀναστάσεως καὶ χρηστηριαζομένων εἰς ἥντινα παρέσονται χώραν, ὁ θεὸς ἀπόλυσιν ἐσήμανε τῆς συμφορᾶς, εἰ μένοντες ἐθέλοιεν ἐκθεῖναι παρὰ τῷ σπηλαίῳ ἕνα κοῦρον τῶν πολιτῶν· κἀκεῖνοι καθάπερ ὁ θεὸς εἶπεν ἐποίουν. Κληρουμένων δ' ἔλαχεν Ἀλκυονεὺς ὁ Διόμου καὶ Μεγανείρης παῖς, μονογενὴς ὢν τῷ πατρὶ, καὶ καλὸς καὶ κατὰ τὴν ὄψιν, καὶ τὸ τῆς ψυχῆς ἦθος· καὶ οἱ μὲν ἱερεῖς τὸν Ἀλκυονέα στέψαντες, ἀπήγαγον εἰς τὸ τῆς Συβάριδος σπήλαιον· Εὐρύβατος δὲ κατὰ δαίμονα ἐκ τῆς Κουρήτιδος ἀπιὼν ὁ Εὐφήμου παῖς, γένος μὲν ἔχων Ἀξίου τοῦ ποταμοῦ, νέος δ' ὢν καὶ γενναῖος, ἐνέτυχεν ἀγομένῳ τῷ παιδὶ, πληγεὶς ἔρωτι, καὶ πυθό-

πυθόμενος καθ' ἥντινα πρόφασιν ἔρχονται, δεινὸν ἐποιήσατο μὴ οὐκ ἀμῦναι πρὸς δύναμιν, ἀλλὰ περιϊδεῖν οἰκτρῶς ἀναιρεθέντα τὸν παῖδα· περισπάσας οὖν ἀπὸ τοῦ Ἀλκυονέως τὰ στέμματα, καὶ αὐτὸς ἐπὶ τὴν κεφαλὴν ἐπιθέμενος, ἐκέλευεν ἀπάγειν ἑαυτὸν ἀντὶ τοῦ παιδός· ἐπεὶ δὲ αὐτὸν οἱ ἱερεῖς ἀπήγαγον, εἰσδραμὼν καὶ τὴν Σύβαριν ἐκ τῆς κοίτης συναρπάσας, παρήνεγκεν εἰς ἐμφανὲς, καὶ κατὰ τῶν πετρῶν ἔῤῥιψεν· ἡ δὲ καταφερομένη προσέκρουσε τὴν κεφαλὴν παρὰ τὰ σφυρὰ τῆς Κρίσης· καὶ αὐτὴ μὲν ἐκ τοῦ τραύματος ἀφανὴς ἐγένετο· ἐκ δὲ τῆς πέτρας ἐκείνης ἀνεφάνη πηγὴ, καὶ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι Σύβαριν· ἐκ δὲ ταύτης καὶ Λοκροὶ πόλιν ἐν Ἰταλίᾳ Σύβαριν ἔκτισαν.

---

## θ'. ΗΜΑΘΙΔΕΣ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Ζεὺς Μνημοσύνῃ μιγεὶς ἐν Πιερίᾳ Μούσας ἐγέννησεν· ὑπὸ δὲ τὸν χρόνον τοῦτον ἐβασίλευσε Πίερος αὐτόχθων Ἠμαθίας· καὶ αὐτῷ θυγατέρες ἐγένοντο ἐννέα, καὶ χορὸν ἐναντίον ἔστησαν αὗται Μούσαις, καὶ ἀγὼν ἐγένετο μουσικῆς ἐν τῷ Ἑλικῶνι· ὅτε μὲν

οὖν

οὖν αἱ θυγατέρες ᾄδοιεν τοῦ Πιέρος, ἐπήχλυε πάντα, καὶ οὐδὲν ὑπήκουε πρὸς τὴν χορείαν· ὑπὸ δὲ Μουσῶν ἵστατο μὲν οὐρανὸς, καὶ ἄστρα, καὶ θάλασσα, καὶ ποταμοὶ, ὁ δ' Ἑλικὼν ηὔξετο, κηλούμενος ὑφ' ἡδονῆς, εἰς τὸν οὐρανὸν, ἄχρις αὐτὸν βουλῇ Ποσειδῶνος ἔπαυεν ὁ Πήγασος, τῇ ὁπλῇ τὴν κορυφὴν πατάξας· ἐπεὶ δὲ νεῖκος ἤραντο θνηταὶ θεαῖς, μετέβαλον αὐτὰς αἱ Μοῦσαι, καὶ ἐποίησαν ὄρνιθας ἐννέα· καὶ ἔτι νῦν ὀνομάζονται παρ' ἀνθρώποις κολυμβὰς, ἴυγξ, κεγχρὶς, κίσσα, χλωρὶς, ἀκαλανθὶς, νῆσσα, πιπὼ, δρακοντίς.

---

## ί. ΜΙΝΥΑΔΕΣ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ΄. καὶ Κόριννα.

Μινύου τοῦ Ὀρχομενοῦ ἐγένοντο θυγατέρες, Λευκίππη, Ἀρσίππη, Ἀλκαθόη· καὶ ἀπέβησαν ἐκτόπως φιλεργοί· πλεῖστα δὲ καὶ τὰς ἄλλας γυναῖκας ἐμέμψαντο, ὅτι ἐκλιποῦσαι τὴν πόλιν, ἐν τοῖς ὄρεσιν ἐβάκχευον, ἄχρι Διόνυσος εἰκασθεὶς κόρῃ παρήνεσεν αὐταῖς μὴ ἐκλείπειν τελετὰς ἢ μυστήρια τοῦ θεοῦ· αἱ δὲ οὐ προσεῖχον· πρὸς δὴ ταῦτα χαλεπήνας ὁ Διόνυσος, ἀντὶ κόρης ἐγένετο ταῦ-

ταῦρος, καὶ λέων, καὶ πάρδαλις, καὶ ἐκ τῶν κελεόντων ἐῤῥύη νέκταρ αὐτῷ καὶ γάλα· πρὸς δὲ τὰ σημεῖα τὰς κόρας ἔλαβε δεῖμα· καὶ μετ᾽ οὐ πολὺ κλήρους εἰς ἄγγος αἱ τρεῖς ἐμβαλοῦσαι ἀνέπηλαν· ἐπεὶ δ᾽ ὁ κλῆρος ἐξέπεσε Λευκίππης, εὔξατο θῦμα τῷ θεῷ δώσειν, καὶ Ἵππασον τὸν ἑαυτῆς παῖδα διέσπασε σὺν ταῖς ἀδελφαῖς· καταλιποῦσαι δὲ τὰ οἰκεῖα τοῦ πατρὸς, ἐβάκχευον ἐν τοῖς ὄρεσιν, καὶ ἐνέμοντο κισσὸν, καὶ μίλακα, καὶ δάφνην, ἄχρις αὐτὰς Ἑρμῆς ἁψάμενος τῇ ῥάβδῳ, μετέβαλεν εἰς ὄρνιθας· καὶ αὐτῶν μὲν ἡ μὲν ἐγένετο νυκτερὶς, ἡ δὲ γλαῦξ, ἡ δὲ βύζα· ἔφυγον δὲ αἱ τρεῖς τὴν αὐγὴν τοῦ ἡλίου.

---

## Α Η Δ Ω Ν. ιά.

Ἱστορεῖ Βοῖος Ὀρνιθογονίᾳ.

Πανδάρεως ᾤκει τῆς γῆς τῆς Ἐφεσίας, ἵν᾽ ἐστὶ νῦν ὁ πρηὼν παρὰ τὴν πόλιν· ᾧ διδοῖ Δημήτηρ δῶρον, μηδέποτε βαρυνθῆναι τὴν γαστέρα ὑπὸ σιτίων, ὁπόσον ἂν πλῆθος εἰσενέγκηται· ἐγένετο δὲ Πανδάρεῳ θυγάτηρ Ἀηδών· ταύτην Πολύτεχνος ὁ τέκτων ἔγημεν, ὃς ᾤκει ἐν Κολοφῶνι τῆς Λυδίας, καὶ πλεῖστον χρόνον ἐτέρποντο συνοικοῦντες ἀλλήλοις·

λοις· ἐγένετο δ' αὐτοῖς παῖς μονογενὴς Ἴτυς· ἄχρι μὲν οὖν θεοὺς ἐτίμων, εὐδαίμονες ἦσαν· ἐπεὶ δὲ λόγον ἀχρεῖον ἀπέῤῥιψαν, ὅτι πλέον ἀλλήλους Ἥρας καὶ Διὸς φιλοῦσιν, καὶ Ἥρα μεμψαμένη τὸν λόγον, Ἔριν αὐτοῖς ἔπεμψεν, ἡ δὲ νεῖκος ἐνέβαλεν εἰς τὰ ἔργα· καὶ Πολυτέχνῳ μὲν ὀλίγον ἦν ἔτι δίφρον ἁρμάτιον ἐκποιῆσαι, Ἀηδόνι δὲ τὸν ἱστὸν ἐξυφῆναι, καὶ συντίθενται εἰς ἀλλήλους, ὅτῳ ἂν τάχιον ἀνυσθῇ τὸ ἔργον, τούτῳ θεράπαινα παρὰ τοῦ ἑτέρου γένηται· καὶ ἐπειδὴ θᾶσσον ἡ Ἀηδὼν τὸν ἱστὸν ἐξύφαινε, (Ἥρα γὰρ αὐτῇ συνελάμβανεν) ὁ Πολύτεχνος ἀχθόμενος τῇ νίκῃ τῆς Ἀηδόνος, προσεποιήσατο πεμφθῆναι, ὅπως αὐτῇ Χελιδόνα τὴν ἀδελφὴν ἀναπαγάγῃ· καὶ ὁ Πανδάρεως οὐδὲν ὑπονοήσας πονηρὸν δίδωσιν ἀπάγειν· ὁ δὲ Πολύτεχνος παραλαβὼν τὴν κόρην ᾔσχυνεν ἐν τῇ λόχμῃ, καὶ ἄλλοις ἠμφίεσεν αὐτὴν ἐσθήμασι, καὶ τῆς κεφαλῆς ἀπέκειρε τὴν κόμην, καὶ ἠπείλησε θάνατον, εἰ ἐξερεῖ ποτε ταῦτα πρὸς τὴν Ἀηδόνα· καὶ ὁ μὲν ἐλθὼν εἰς τὰ οἰκία παραδίδωσι τῇ Ἀηδόνι κατὰ τὰ συγκείμενα, ὡς θεράπαιναν, τὴν ἀδελφήν· ἡ δὲ αὐτὴν διέφθειρε πρὸς τὰ ἔργα, μέχρις ἡ Χελιδονὶς ἔχουσα κάλπιν πλεῖστα παρὰ τὴν κρηνίδα κατωδύρετο, καὶ αὐτῆς ἐπηκροάσατο τὸν λόγον ἡ Ἀηδών· ἐπεὶ δὲ ἀλλήλας ἔγνωσαν καὶ ἠσπάσαντο, ἐπεβούλευον τῷ Πολυ-

τέχνῳ συμφοράν· καὶ τὸν παῖδα κατακόψασαι τὰ κρέα ἐν λέβητι συνθεῖσαι, ταῦτα μὲν ἧψον· Ἀηδὼν δὲ φράσασα πρὸς ἑαυτῆς γείτονα, εἰπεῖν Πολυτέχνῳ δαίσασθαι τῶν κρεῶν, ἀφίκετο σὺν τῇ ἀδελφῇ πρὸς τὸν πατέρα Πανδάρεων, καὶ ἐδήλωσεν οἵᾳ ἐχρήσατο συμφορᾷ· Πολύτεχνος δὲ μαθὼν, ὅτι τοῦ παιδὸς ἐδαίσατο τὰ κρέα, μετεδίωξεν αὐτὰς ἄχρις πρὸς τὸν πατέρα, καὶ αὐτὸν οἱ θεράποντες οἱ τοῦ Πανδάρεου συνέλαβον καὶ ἔδησαν ἀφύκτῳ δεσμῷ, ὅτι ἐνελωβᾶτο εἰς τὸν οἶκον τοῦ Πανδάρεου, καὶ τὸ σῶμα ἐναλείψαντες μέλιτι, κατέβαλον εἰς τὰ ποίμνια· καὶ Πολύτεχνον μὲν αἱ μυῖαι προσίζουσαι ἐλυμαίνοντο· Ἀηδὼν δὲ οἰκτείρασα πρὸς τὴν παλαιὰν φιλίαν, ἀπεῖργεν ἐκ τοῦ Πολυτέχνου καὶ ἐσόβησε τὰς μυίας· ἐπεὶ δὲ αὐτὸ κατεφωράθησαν οἱ γονεῖς τε καὶ ὁ ἀδελφὸς, μισήσαντες ἐνεχείρησαν ἀποκτεῖναι· Ζεὺς δὲ πρὸ τοῦ μεῖζον κακὸν ἐμπεσεῖν τῷ οἴκῳ, τὸν Πανδάρεων οἰκτείρας, ἐποίησε πάντας ὄρνιθας· καὶ οἱ μὲν αὐτῶν ἐξέπτησαν ἄχρι πρὸς τὴν θάλασσαν, οἱ δὲ εἰς τὸν ἀέρα. Πανδάρεως μὲν οὖν ἐγένετο ἁλιαίετος· ἡ δὲ μήτηρ τῆς Ἀηδόνος ἀλκυών· καὶ εὐθὺς ἐβούλοντο καταβαλεῖν ἑαυτοὺς εἰς τὴν θάλασσαν, ἀλλὰ Ζεὺς ἐκώλυσεν· οὗτοι τοῖς πλέουσιν οἱ ὄρνιθες αἴσιοι φαίνονται· Πολύτεχνος δὲ μεταβαλὼν ἐγένετο πελεκᾶν, ὅτι

Ἡφαι-

Ἥφαιστος αὐτῷ πέλεκυν ἔδωκεν τεκταίνοντι· καί ἐστιν ἀγαθὸς οὗτος ὁ ὄρνις φανεὶς τέκτονι· ὁ δὲ τῆς Ἀηδόνος ἀδελφὸς ἐγένετο ἔποψ, αἴσιος καὶ πλέουσι καὶ ἐπὶ γῆς φανείς· σὺν ἁλιαιέτῳ δὲ ἢ ἀλκυόνι μᾶλλον· Ἀηδὼν δὲ καὶ Χελιδονὶς, ἡ μὲν παρὰ ποταμοὺς καὶ λόχμας τὸν παῖδα τὸν Ἴτυν θρηνεῖ· Χελιδονὶς δ᾽ ἐγένετο σύνοικος ἀνθρώποις Ἀρτέμιδος βουλῇ, διότι κατ᾽ ἀνάγκας ἐκλιποῦσα τὴν παρθενίαν, πλεῖστα τὴν Ἄρτεμιν ἐπεβοήσατο.

---

## ΚΥΚΝΟΣ. ιβ′.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ′. καὶ Ἀρεὺς ὁ Λάκων ἐν ᾄσματι Κύκνῳ.

Ἀπόλλωνος καὶ Θυρίης τῆς Ἀμφινόμου παῖς ἐγένετο Κύκνος· οὗτος ἦν εὐσχήμων τὴν ὄψιν, τὸ δὲ ἦθος ἄχαρις καὶ ἄγροικος, πρὸς κυνηγέσια ἐκτόπως φιλότιμος· ᾤκει δ᾽ ἐπὶ τῶν ἀγρῶν τὸ μέσον Πλευρῶνος καὶ Καλυδῶνος· ἐγένοντο δ᾽ αὐτοῦ καὶ ἐρασταὶ πλεῖστοι διὰ τὸ κάλλος· ὁ δὲ Κύκνος καθ᾽ ὑπεροψίαν προσίετο αὐτῶν οὐδένα· τάχιστα δὲ διαμισηθεὶς, ἀπὸ μὲν τῶν ἄλλων ἐραστῶν καταλείπεται· Φύλιος δὲ μόνος αὐτῷ συνέμενεν· ὁ δὲ καὶ τοῦτον οὐ μετρίως ἐξύβρισεν·

σεν· ἐφάνη γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ μέγα τι χρῆμα λέοντος ἐν Αἰτωλοῖς, ὃς αὐτοὺς τε καὶ τὰ θρέμματα διελυμαίνετο· τοῦτον οὖν τῷ Φυλίῳ προσέταξεν ὁ Κύκνος ἄνευ σιδήρου κτεῖναι· κἀκεῖνος ὑπέσχετο, καὶ ἀνεῖλε μηχανῇ τοιαύτῃ· εἰδὼς ἥντινα ὥραν ἔμελλεν ὁ λέων ἐπιφοιτήσειν, ἐνέπλησε τὴν γαστέρα πολλῶν σιτίων καὶ οἴνου· κἀπεὶ προσεπέλασεν ὁ θὴρ, ἐξήμεσεν ὁ Φύλιος τὰ σιτία· καὶ ὁ λέων ὑπὸ λιμοῦ τροφῇ ταύτῃ χρησάμενος, ἐκαρώθη ὑπὸ τοῦ οἴνου· ὁ δὲ Φύλιος περιβαλὼν τὸν βραχίονα τῇ ἐσθῆτι, ἣ ἐφόρει, ἔφραξε τὸ σόμα τοῦ λέοντος· ἀνελὼν δὲ αὐτὸν καὶ ἀναθέμενος ἐπὶ τὸν ὦμον, ἀπήνεγκε πρὸς τὸν Κύκνον· καὶ διεβοήθη παρὰ πολλοῖς ἐπὶ τῷ κατορθώματι τούτῳ· ὁ δὲ Κύκνος ἕτερον ἆθλον ἐπέταττεν ἀτοπώτερον· ἐγένοντο γὰρ ἐν τῇ γῇ ταύτῃ γῦπες, ὑπερφυές τι καὶ μέγα χρῆμα, καὶ πολλοὺς ἀπεκτίννυον ἀνθρώπους· τούτους ἐκέλευε συλλαβεῖν ζῶντας, καὶ ἀπενεγκεῖν ἔξω πάσῃ μηχανῇ· ἀποροῦντι δὲ τῷ Φυλίῳ πρὸς τὸ ἐπίταγμα, κατὰ θεὸν ἀετὸς ἡρπαγὼς λαγωὸν ἡμιθνῆτα κατέβαλε, πρὶν ἀπενεγκεῖν εἰς τὰ οἰκεῖα· ὁ δὲ Φύλιος ἀναῤῥήξας τὸν λαγωὸν, καὶ τοῦ αἵματος ἑαυτὸν ἀναπλήσας, ἐπὶ τῆς γῆς ἔκειτο· οἱ μὲν οὖν ὄρνιθες ὡς ἐπὶ νεκρὸν ὥρμησαν· ὁ δὲ Φύλιος πιέσας τῶν σφυρῶν δύο, καὶ κατασχὼν ἀπήνεγκεν πρὸς τὸν Κύκνον· ὁ

δὲ αὐτῷ τρίτον ἔτι χαλεπώτερον ἆθλον ἐπέταττεν· ἐκέλευε γὰρ ἀπαγαγεῖν ταῦρον ἐκ τῆς ἀγέλης ταῖς χερσὶ λαβόντα μέχρι πρὸς τὸν βωμὸν τὸν τοῦ Διός· ὁ δὲ Φύλιος ἀμηχανῶν, ὅ τι χρήσεται πρὸς τὸ ἐπίταγμα, εὔξατο συλλαβέσθαι αὐτῷ τὸν Ἡρακλέα· καὶ πρὸς τὴν εὐχὴν ταύτην ἐφάνησαν δύο ταῦροι περὶ μίαν οἰστρήσαντες βοῦν, καὶ τοῖς κέρασι τύπτοντες ἀλλήλους, κατέβαλον εἰς τὴν γῆν· ὁ δὲ Φύλιος, ἐπειδὴ παρείθησαν, τὸν ἕτερον ταῦρον ἀναψάμενος ἐκ τοῦ σκέλους, ἀπήγαγεν ἄχρι πρὸς τὸν βωμὸν, βουλήσει δὲ τοῦ Ἡρακλέους, ἀμελήσας τῶν ἐπιταγμάτων τοῦ παιδός· τῷ δὲ Κύκνῳ παρέστη δεινὸν ἀτιμηθέντι παρὰ τὴν δόξαν· ἀθυμήσας δὲ κατέβαλεν ἑαυτὸν εἰς τὴν Κωνώπην λεγομένην λίμνην, καὶ ἠφανίσθη· πρὸς δὲ τὸν θάνατον αὐτοῦ καὶ Θυρίη ἡ μήτηρ κατέβαλεν ἑαυτὴν εἰς τὴν αὐτὴν ἐκείνῳ λίμνην· καὶ ἐγένοντο βουλῇ Ἀπόλλωνος ὄρνιθες ἀμφότεροι ἐν λίμνῃ· ἀφανισθέντων δὲ, καὶ ἡ λίμνη μετωνομάσθη, καὶ ἐγένετο κυκνείη, καὶ πολλοὶ ἐν τῇ ὥρᾳ τοῦ ἀροτοῦ ἐνταῦθα φαίνονται κύκνοι· πλησίον δὲ κεῖται καὶ τὸ τοῦ Φυλίου σῆμα.

# ΑΣΠΑΛΙΣ. ιγ′.

Ἱςορεῖ Νίκανδρος ἑτεροιεμένων β′.

Διὸς καὶ νύμφης Ὀθρηΐδος ἐγένετο παῖς Μελιτεύς· τῦτον ἡ μήτηρ ἐξέθηκεν εἰς τὴν ὕλην κατὰ δέος Ἥρας, ὅτι αὐτῇ Ζεὺς ἐμίχθη· ὁ δὲ παῖς Διὸς βελῇ ἐκ ἠφανίσθη, ἀλλ᾽ ηὔξετο τρεφόμενος ὑπὸ μελισσῶν· ἐνέτυχε δὲ αὐτῷ ποιμαίνων πρόβατα Φάγρος ὁ Ἀπόλλωνος καὶ Ὀθρηΐδος νύμφης, ἥτις ἔτεκε Μελιτέα τὸν ἐν τῇ ὕλῃ παῖδα· θαυμάσας δὲ πρὸς τὸν ὄγγον τῦ σώματος, καὶ ἔτι πλέον πρὸς τὰς μελίσσας, ἀνείλετο καὶ ἀπήνεγκεν εἰς τὰ οἰκία, καὶ ἔτρεφεν ἐν πολλῇ σπυδῇ, θέμενος αὐτῷ Μελιτέα ὄνομα, διότι ὑπὸ μελισσῶν ἐτράφη· ὑπῆλθεν αὐτὸν καὶ ὁ χρησμὸς, ἐν ᾧ ποτε θεὸς εἶπε, σώζειν ὁμόγνιον ὄντα τὸν ὑπὸ τῶν μελισσῶν τρεφόμενον. Ὁ δὲ παῖς ἐπεὶ τάχιςα ἠνδρώθη, ἀνὴρ ἐγένετο γενναῖος, καὶ πλείςων ἦρξε περιοίκων, καὶ πόλιν ἔκτισεν ἐν τῇ Φθίᾳ προσαγορεύσας Μελίτην· ἐν ταύτῃ τῇ Μελίτῃ τύραννος ἐγένετο βίαιος καὶ ὑβριςής· ὃν οἱ μὲν ἐπιχώριοι ὐδ᾽ ὀνομάζυσι, ὑπὸ δὲ τῶν ξένων Τάρταρος ἐκαλεῖτο· ὗτος εἴ τις διαβοηθείη παρθένος ἐπὶ κάλλει τῶν ἐγχωρίων, ἀπη-

ἀπῆγεν αὐτὴν καὶ ἐμίγνυτο πρὸ γάμου κατὰ βίαν· τότε δ' οὖν εἴρητο πρὸς τοὺς θέραπας ἀπάγειν Ἀσπαλίδα τὴν θυγατέρα τὴν Ἀργαίου τῶν οὐκ ἀσήμων· ἡ δὲ παῖς, ὡς ἔκπυστος ὁ λόγος ἐγένετο, πρὶν ἀφικέσθαι τοὺς ἀπάξοντας, ἀνήρτησεν ἑαυτήν· τῆς δὲ πράξεως οὔπω διαβοηθείσης ἀδελφὸς ὁ τῆς Ἀσπαλίδος Ἀστυγίτης ὤμοσεν, ὅτι πρότερον τίσεται τὸν τύραννον, ἢ τὸ σῶμα καθαιρήσει τὸ τῆς ἀδελφῆς· ἐνδὺς δὲ τάχιστα τὴν στολὴν τῆς Ἀσπίλαδος, καὶ κρύψας παρὰ τὴν εὐώνυμον πλευρὰν τὸ ξίφος, ἔλαθε πρὸς τὴν ὄψιν ἀντίπαις ὤν· παρελθὼν δὲ εἰς τὰ οἰκία, γυμνὸν ὄντα καὶ ἀφύλακτον τὸν τύραννον κτείνει· οἱ δὲ Μελιτεῖς τὸν μὲν Ἀστυγίτην ἐστεφάνουν, καὶ μετὰ παιάνων προέπεμπον· τὸ δὲ σῶμα τοῦ τυράννου κατεπόντωσαν, εἰς ποταμὸν ἐμβαλόντες, ὃν ἔτι νῦν ἐξ ἐκείνου τοῦ χρόνου Τάρταρον καλοῦσι· τὸ δὲ σῶμα τὸ τῆς Ἀσπαλίδος ἐξερευνῶντες πάντα τρόπον, ὅπως κηδεύσωσιν ἐπισήμως, οὐκ ἠδυνήθησαν εὑρεῖν· ἀλλὰ τοῦτο μὲν ἠφανίσθη κατὰ θεόν· ἀντὶ δὲ τοῦ σώματος ἐφάνη ξόανον παρὰ τὸ τῆς Ἀρτέμιδος ἑστηκός· ὀνομάζεται δὲ παρὰ τοῖς ἐγχωρίοις τοῦτο τὸ ξόανον Ἀσπαλὶς Ἀμειλήτη Ἑκαέργη, ᾧ καθ' ἕκαστον ἔτος αἱ παρθένοι χίμαρον ἄθορον ἐκρήμνων, ὅτι καὶ ἡ Ἀσπαλὶς παρθένος οὖσα ἑαυτὴν ἀπηγχόνισεν.

ΜΟΥ-

# ΜΟΥΝΙΧΟΣ. ιδ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β΄.

Μούνιχος ὁ Δρύαντος ἐβασίλευσε Μολοσσῶν, καὶ ἐγένετο μάντις ἀγαθὸς, καὶ ἀνὴρ δίκαιος· ἔσχε δὲ παῖδας ἐκ Δηλάντης Ἄλκανδρον, ἀμείνονα μάντιν ἑαυτοῦ, καὶ Μεγαλήτορα, καὶ Φίλαιον, καὶ θυγατέρα Ὑπερίππην· τούτους γενομένους πάντας ἀγαθοὺς καὶ δικαίους ἐφίλησαν οἱ θεοί. Ἐπεὶ δὲ αὐτοὺς ἐπὶ τῶν ἀγρῶν νυκτὸς ἐπελθόντες λησταὶ συν-ελάμβανον, οἱ δὲ ἐκ τῶν πύργων ἔβαλλον, (οὐ γὰρ ἦσαν αὐτοῖς ἰσόμαχοι) πῦρ ἐνέβαλλον οἱ κλῶπες εἰς τὰ οἰκία. Ζεὺς δ᾽ οὐ περιεῖδεν αὐτοὺς ὁσιότητος ἕνεκα, τελευτήσοντας οἰκτίστῳ θανάτῳ· μετέβαλε δὲ πάντας εἰς ὄρνιθας· καὶ Ὑπερίππη μὲν, ἐπεὶ φυγοῦσα τὸ πῦρ εἰς ὕδωρ κατέδυ, γέγονεν αἴθυια· οἱ δὲ ἄλλοι ἐκ τοῦ πυρὸς ἀνέπτησαν, Μούνιχος μὲν τριόρχης γενόμενος, Ἄλκανδρος δὲ ὀρχίλος· Μεγαλήτωρ δὲ καὶ Φιλαῖος, ὅτι τὸ πῦρ φεύγοντες διὰ τοῦ τοίχου παρὰ τὴν γῆν ἔδυσαν, ἐγένοντο μικροὶ δύο ὄρνιθες· καί ἐστιν ὁ μὲν αὐτῶν ἰχνεύμων, Φιλαῖος δ᾽ ὀνομάζεται κύων· ἡ δὲ μήτηρ αὐτῶν ἐγένετο κνιπολόγος πιπώ· πρὸς ταύτην ἀετῷ πόλεμός ἐστι καὶ ἐρω-

ἐρωδιῷ· κατάγνυσι γὰρ αὐτῶν τὰ ᾠὰ, κόπτουσα τὴν δρῦν διὰ τοὺς κνῖπας· καί εἰσιν οἱ μὲν ἄλλοι σύννομοι ἐν ὕλῃ καὶ παρὰ κευθμῶνας· αἴθυια δὲ ἐγένετο πρὸς λίμνας τε καὶ θαλάσσῃ.

---

## ΜΕΡΟΠΙΣ. ιέ.

Ἱστορεῖ Βοῖος Ὀρνιθογονίας β΄.

Εὐμήλου τοῦ Μέροπος ἐγένοντο παῖδες ὑπερήφανοι καὶ ὑβρισταὶ, Βύσσα καὶ Μεροπὶς καὶ Ἄγρων· καὶ ᾤκουν Κῶν τὴν Μεροπίδα νῆσον· ἡ δὲ γῆ πλεῖστον αὐτοῖς ἐξέφερε καρπὸν, ὅτι μόνην θεῶν ἐτίμων, καὶ ἐπιμελῶς αὐτὴν εἰργάζοντο· οὗτοι ἀνθρώπων οὐδενὶ συνῆλθον, οὔτε εἰς ἄστυ κατιόντες, οὔτε πρὸς εἰλαπίνας καὶ θεῶν ἑορτάς· ἀλλ᾽ εἰ μὲν Ἀθηνᾷ τις ἱερὰ ποιῶν ἐκάλεσε τὰς κόρας, ἀπέλεγεν ὁ ἀδελφὸς τὴν κλῆσιν· οὐ γὰρ ἀγαπᾶν ἔφη γλαυκὴν θεὸν, ὅτι ταῖς αὐταῖς κόραις ὀφθαλμὸς ἐνῆν μέλας· ἐχθαίρειν δὲ παράπαν γλαῦκα τὴν ὄρνιν· εἰ δὲ καλῶεν παρὰ τὴν Ἄρτεμιν, νυκτίφοιτον ἔλεγε μισεῖν θεόν· εἰ δὲ πρὸς Ἑρμοῦ σπονδὰς, κλέπτην ἔλεγεν οὐ τιμᾶν θεόν· καὶ οἱ μὲν πλειστάκις ἐκερτόμουν. Ἑρμῆς δὲ καὶ Ἀθηνᾶ καὶ Ἄρτεμις χολούμενοι νυκτὸς ἐπέ-

στησαν

στησαν αὐτῶν τοῖς οἴκοις, Ἀθηνᾶ μὲν καὶ Ἄρτεμις ἐοικυῖαι κόραις, Ἑρμῆς δὲ ποιμένος ἔχων στολὴν, καὶ τὸν Εὔμηλον καὶ τὸν Ἄγρωνα προσαγορεύσας παρεκάλει παρατυχεῖν εἰς δαῖτα· διδόναι γὰρ ἱερὰ μετὰ τῶν ἄλλων ποιμένων Ἑρμῇ. Βύσσαν δὲ καὶ Μεροπίδα πρὸς τὰς ὁμήλικας ἔπειθεν ἐκπέμπειν εἰς τὸ τῆς Ἀθηνᾶς καὶ Ἀρτέμιδος ἄλσος· καὶ ταῦτα μὲν εἶπεν Ἑρμῆς. Μεροπὶς δ' ὡς ἤκουσεν, ἐξύβρισε πρὸς τὸ ὄνομα τῆς Ἀθηνᾶς· ἡ δὲ αὐτὴν ἐποίησεν ὀρνίθιον γλαῦκα· Βύσσα δὲ τῷ αὐτῷ ὀνόματι λέγεται, καὶ ἔστι Λευκοθέας ὄρνις. Ἄγρων δ' ὡς ἐπύθετο, ἁρπάσας ὀβελὸν ἐξέδραμεν· Ἑρμῆς δ' αὐτὸν ἐποίησε χαραδριόν· Εὔμηλος δὲ τὸν Ἑρμῆν ἐνείκεσεν, ὅτι μετεμόρφωσεν αὐτοῦ τὸν υἱόν· ὁ δὲ κἀκεῖνον ἐποίησε νυκτικόρακα κακάγγελον.

---

## ΟΙΝΟΗ. ιϛ'.

Ἱστορεῖ Βοῖος Ὀρνιθογονίας β'.

Παρὰ τοῖς λεγομένοις ἀνδράσι πυγμαίοις ἐγένετο παῖς ὄνομα Οἰνόη, τὸ μὲν εἶδος οὐ μεμπτὴ, ἄχαρις δὲ τὸ ἦθος καὶ ὑπερήφανος· ταύτῃ φροντὶς οὐδεμία ἐγίνετο τῆς Ἀρτέμιδος οὐδὲ Ἥρας· γαμηθεῖσα δὲ Νικοδάμαντι

δάμαντι τῶν πολιτῶν ἑνὶ μετρίῳ καὶ ἐπιεικεῖ, ἔτεκε παῖδα Μόψον· καὶ αὐτῇ Πυγμαῖοι πάντες κατὰ φιλοφροσύνην πλεῖστα δῶρα πρὸς τὴν γένεσιν τοῦ παιδὸς ἀπήνεγκαν. Ἥρα δὲ μεμφθεῖσα τὴν Οἰνόην, ὅτι αὐτὴν οὐκ ἐτίμα, γέρανον αὐτὴν ἐποίησε, καὶ τὸν αὐχένα μακρὸν εἵλκυσε καὶ ἀπέδειξεν ὑψιπετῆ ὄρνιθα· καὶ πόλεμον ἐνέβαλεν αὐτῇ τε καὶ τοῖς Πυγμαίοις· Οἰνόη δὲ διὰ τὸν πόθον τοῦ παιδὸς Μόψου, περιεπέτετο τὰ οἰκία, καὶ οὐκ ἐξελίμπανε· Πυγμαῖοι δὲ καθοπλισάμενοι πάντες, ἐδίωκον αὐτήν· καὶ ἐκ τούτου ἔτι καὶ νῦν Πυγμαίοις καὶ γεράνοις πόλεμος ἐνέστηκε.

---

## ΛΕΥΚΙΠΠΟΣ. ιζ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β΄.

Γαλάτεια ἡ Εὐρυτίου τοῦ Σπάρτωνος ἐγήματο ἐν Φαιστῷ τῆς Κρήτης Λάμπρῳ τῷ Πανδίονος, ἀνδρὶ τὰ μὲν εἰς γένος εὖ ἔχοντι, βίου δὲ ἐνδεεῖ· οὗτος, ἐπειδὴ ἐγκύμων ἦν ἡ Γαλάτεια, ηὔξατο μὲν ἄῤῥενα γενέσθαι αὐτῷ παῖδα· προηγόρευσε δὲ τῇ γυναικὶ, ἐὰν γεννήσῃ κόρην, ἀφανίσαι· καὶ οὗτος μὲν ἀπιὼν ἐποίμαινε τὰ πρόβατα, τῇ

 δὲ

δὲ Γαλατείᾳ θυγάτηρ ἐγένετο· καὶ κατοικτείρασα τὸ βρέφος, καὶ τὴν ἐρημίαν τȣ̃ οἴκȣ λογισαμένη, συλλαμβανόντων δ' ἔτι καὶ τῶν ὀνείρων καὶ τῶν μάντεων, οἳ προηγόρευον τὴν κόρην ὡς κόρον ἐκτρέφειν, ἐψεύσατο τὸν Λάμπρον ἄῤῥεν λέγȣσα τεκεῖν, καὶ ἐξέτρεφεν ὡς παῖδα κȣ̃ρον, ὀνομάσασα Λεύκιππον· ἐπεὶ δὲ ηὔξετο ἡ κόρη, καὶ ἐγένετο ἄφατόν τι κάλλος, δείσασα τὸν Λάμπρον ἡ Γαλάτεια, ὡς οὐκ ἐνῆν ἔτι λαθεῖν, κατέφυγεν εἰς τὸ τῆς Λητȣ̃ς ἱερὸν, καὶ πλεῖστα τὴν θεὸν ἱκέτευσεν, εἴπως αὐτῇ κόρος ἡ παῖς ἀντὶ τῆς θυγατρὸς δύναιτο γενέσθαι, καθάπερ ὅτε Καινὶς μὲν Ἄτρακος ȣ̃σα θυγάτηρ, βȣλῇ Ποσειδῶνος ἐγένετο Καινεὺς ὁ Λαπίθης. Τειρεσίας δὲ γυνὴ μὲν ἐξ ἀνδρὸς, ὅτι τȣ̀ς ἐν τῇ τριόδῳ μιγνυμένȣς ὄφεις ἐντυχὼν ἀπέκτεινεν, ἐκ δὲ γυναικὸς αὖτις ἀνὴρ ἐγένετο, διὰ τὸ δράκοντα πολλάκις (πατάξαι·) Πάνακτα δὲ καὶ Ὑπερμήστραν πιπρασκομένην ἐπὶ γυναικὶ μὲν αἴρασθαι τίμον· ἄνδρα δὲ γενομένην Αἴθωνι τροφὴν ἀποφέρειν τῷ πατρί· μεταβαλεῖν δὲ καὶ τὸν Κρῆτα Σιπροίτην, ὅτι κυνηγετῶν λȣομένην ἴδε τὴν Ἄρτεμιν· ἡ δὲ Λητὼ συνεχῶς ὀδυρομένην καὶ ἱκετεύȣσαν ᾤκτειρε τὴν Γαλάτειαν, καὶ μετέβαλε τὴν φύσιν τῆς παιδὸς εἰς κόρον· ταύτης ἔτι μέμνηνται τῆς μεταβολῆς Φαίστιοι, καὶ θύȣσι Φυτίῃ Λητοῖ, ἥτις ἔφυσε

μήδεα τῇ κόρῃ, καὶ τὴν ἑορτὴν Ἐκδύσια καλοῦσιν, ἐπεὶ τὸν πέπλον ἡ παῖς ἐξέδυ· νόμιμον δ' ἐςὶν ἐν τοῖς γάμοις πρότερον παρακλίνασθαι παρὰ τὸ ἄγαλμα τοῦ Λευκίππου.

---

## ΗΕΡΟΠΟΣ. ιή.

Ἱςορεῖ Βοῖος Ὀρνιθογονίας β'.

Εὔμηλος ὁ παῖς ὁ Εὐγνώτου κατῴκησεν ἐν Θήβαις ταῖς Βοιωτίας, καὶ αὐτῷ παῖς ἐγένετο Βότρης ὄνομα· οὗτος ὁ Εὔμηλος ἐτίμα μεγαλομερῶς τὸν Ἀπόλλωνα· καί ποτε θύοντος αὐτοῦ, παρὼν ὁ παῖς Βότρης ἐδαίσατο τὸν ἐγκέφαλον τοῦ ἀρνὸς, πρὶν ἐπὶ τὸν βωμὸν καταθῦσαι· μαθὼν δὲ τὸ γεγονὸς Εὔμηλος προσέκρουσε κατ' ὀργὴν πρὸς τὴν κεφαλὴν αὐτοῦ, τὸν δαλὸν ἀφελὼν ἐκ τοῦ βωμοῦ· καὶ ὁ παῖς, καταρυέντος τοῦ αἵματος, καταπεσὼν ἤσπαιρεν· ἡ δὲ μήτηρ ὡς ἴδεν, καὶ ὁ πατὴρ, καὶ οἱ θέραπες, μέγιςον ἐποιήσαντο πένθος· Ἀπόλλων δὲ οἰκτείρας, ἐπεὶ αὐτὸν Εὔμηλος ἐτίμα, ὄρνιθα ἐποίησε τὸν παῖδα ἥεροπον, ὃς ἔτι νῦν τίκτει μὲν ὑπὸ γῆς, αἰεὶ δὲ μελετᾷ πέτεσθαι.

## ΦΩΡΕΣ. ιθ'.

Ἱστορεῖ Βοῖος Ὀρνιθογονίας β'.

Ἐν Κρήτῃ λέγεται εἶναι ἱερὸν ἄντρον μελισσῶν, ἐν ᾧ μυθολογοῦσι τεκεῖν Ῥέαν τὸν Δία, καὶ οὐκ ἔστιν ὅσιον οὐδένα παρελθεῖν οὔτε θεὸν, οὔτε θνητόν· ἐν δὲ χρόνῳ ἀφωρισμένῳ ὁρᾶται καθ' ἕκαστον ἔτος πλεῖστον ἐκλάμπον ἐκ τοῦ σπηλαίου πῦρ· τοῦτο δὲ γίνεσθαι μυθολογοῦσιν, ὅτ' ἂν ἐκζέῃ τὸ τοῦ Διὸς ἐκ τῆς γενέσεως αἷμα· κατέχουσι τὲ τὸ ἄντρον ἱεραὶ μέλιτται, τροφοὶ τοῦ Διός· εἰς τοῦτο παρελθεῖν ἐθάῤῥησαν Λάϊος, καὶ Κελεὸς, καὶ Κέρβερος, καὶ Αἰγωλιὸς, ὅπως πλεῖστον ἀρύσωνται μέλι· καὶ περιθέμενοι περὶ τὸ σῶμα πάντῃ χαλκὸν, ἠρύσαντο τοῦ μέλιτος τῶν μελισσῶν· καὶ τὰ τοῦ Διὸς ἴδον σπάργανα, καὶ αὐτῶν ὁ χαλκὸς ἐῤῥάγη περὶ τὸ σῶμα· Ζεὺς δὲ βροντήσας ἀνέτεινε τὸν κεραυνόν· Μοῖραι δὲ καὶ Θέμις ἐκώλυσαν· οὐ γὰρ ἦν ὅσιον αὐτόθι θανεῖν οὐδένα· καὶ ὁ Ζεὺς πάντας αὐτοὺς ἐποίησεν ὄρνιθας· καὶ ἔστιν ἐξ αὐτῶν τὸ γένος τῶν οἰωνῶν, λάϊοι, καὶ κολοιοὶ, καὶ κέρβεροι, καὶ αἰγωλιοί· καί εἰσιν ἀγαθοὶ φανέντες, καὶ ἐπιτελεῖς παρὰ τοὺς ἄλλους ὄρνιθας, ὅτι τοῦ Διὸς ἴδον τὸ αἷμα.

# ΚΛΕΙΝΙΣ. κ'.

Ἱστορεῖ Βοῖος β', καὶ Σιμμίας ὁ Ῥόδιος Ἀπόλλωνι.

Τῆς λεγομένης Μεσοποταμίας περὶ Βαβυλῶνα πόλιν ᾤκησεν ἀνὴρ θεοφιλὴς καὶ πλούσιος, ὄνομα Κλεῖνις, ἔχων πολλοὺς βοῦς καὶ ὄνους καὶ πρόβατα· τοῦτον ἐκτόπως ἐφίλησεν Ἀπόλλων καὶ Ἄρτεμις, καὶ πλειστάκις ὁμοῦ τοῖς θεοῖς τούτοις ἀφίκετο πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Ὑπερβορέοις, καὶ ἴδεν ἱερουργουμένας αὐτῷ τὰς θυσίας τῶν ὄνων· παραγενόμενος δὲ εἰς Βαβυλῶνα, καὶ αὐτὸς ἐβούλετο καθάπερ ἐν Ὑπερβορέοις ἱερεύειν τῷ θεῷ, καὶ τὴν ἑκατόμβην τῶν ὄνων ἔστησεν παρὰ τὸν βωμόν· Ἀπόλλων δὲ παραγενόμενος ἠπείλησεν ἀποκτενεῖν αὐτὸν εἰ μὴ παύσαιτο τῆς θυσίας ταύτης· καὶ κατὰ τὸ σύνηθες αἶγας αὐτῷ καὶ πρόβατα καὶ βοῦς ἱερεύσει· τὴν γὰρ τῶν ὄνων θυσίαν ἐν Ὑπερβορέοις ἀγομένην αὐτῷ καθ' ἡδονὴν εἶναι· καὶ ὁ Κλεῖνις δείσας τὴν ἀπειλὴν, ἀπῆγεν ἀπὸ τοῦ βωμοῦ τοὺς ὄνους, καὶ τὸν λόγον, ὃν ἤκουσεν, ἐξέφερε πρὸς τοὺς παῖδας· ἦσαν δὲ αὐτῷ παῖδες Λύκιος καὶ Ὀρτύγιος, καὶ Ἅρπασος, καὶ θυγάτηρ Ἀρτεμίχη, παῖδες ἐκ μητρὸς Ἅρπης· Λύ-

κιος μὲν οὖν καὶ Ἅρπασος ἀκούσαντες, ἐκέλευον ἱερεύειν τοὺς ὄνους, καὶ τέρπεσθαι τῇ ἑορτῇ· Ὀρτύγιος δὲ καὶ Ἀρτεμίχη πείθεσθαι τῷ Ἀπόλλωνι προσέτασσον· κἀπὶ τούτοις ὁ Κλεῖνις ἐπείθετο μᾶλλον· Ἅρπασος δὲ καὶ Λύκιος κατὰ βίαν ἐκλύσαντες τῶν δεσμῶν, τοὺς ὄνους ἀπήλαυνον παρὰ τὸν βωμόν· καὶ ὁ θεὸς ἐνέβαλε τοῖς ὄνοις λύσσαν· οἱ δὲ τούς τε παῖδας, καὶ τοὺς θεράπας αὐτῶν, καὶ τὸν Κλεῖνιν κατήσθιον· οἱ δὲ ἀπολλύμενοι τοὺς θεοὺς ἐπεβοῶντο· καὶ Ἅρπην μὲν καὶ Ἅρπασον ᾤκτειρε Ποσειδῶν, καὶ ἐποίησεν αὐτοὺς ὄρνιθας, τῷ αὐτῷ λεγομένους ὀνόματι· Λητὼ δὲ καὶ Ἄρτεμις ἔγνωσαν ἀνασῶσαι τὸν Κλεῖνιν, καὶ τὴν Ἀρτεμίχην, καὶ τὸν Ὀρτύγιον, ὅτι οὐκ αἴτιοι τῶν ἀσεβημάτων ἦσαν· Ἀπόλλων δὲ Λητοῖ καὶ Ἀρτέμιδι δίδωσι τὴν χάριν· καὶ πρόσθεν ἢ ἀποθανεῖν μεταβαλὼν ἐποίησε πάντας ὄρνιθας· καὶ ἐγένετο Κλεῖνις μὲν ὑψιαίετος· οὗτός ἐστι δεύτερος ὀρνίθων μετὰ τὸν αἰετὸν, διαγνῶναι δ' οὐ χαλεπός· ὁ μὲν γάρ ἐστι νεβροφόνος ἐρεμνὸς μέγας τε καὶ ἄλκιμος, ὁ δ' αἰετὸς μελάντερος, καὶ ἐλάσσων ἐκείνου· Λύκιος δὲ μεταβαλὼν ἐγένετο κόραξ τὸ χρῶμα λευκός· αὖτις δὲ βουλῇ Ἀπόλλωνος ἐγένετο κυάνεος, ὅτι πρῶτος ἤγγειλε Κορωνίδα τὴν Φλεγύου θυγατέρα γαμηθεῖσαν Ἀλκυονεῖ· Ἀρτεμίχη δ' ἐγένετο πίφιγξ, θεοῖς τε καὶ ἀνθρώποις

προσ-

προσφιλὴς ὄρνις, Ὀρτύγιος δὲ αἰγίθαλλος, ὅτι τὸν πατέρα Κλεῖνιν ἀνέπειθεν αἶγας ἀντὶ τῶν ὄνων ἱερεύειν Ἀπόλλωνι.

---

# ΠΟΛΥΦΟΝΤΗ. κά.

Ἱϛορεῖ Βοῖος Ὀρνιθογονίας β'.

Τερείνης τῆς Στρυμόνος καὶ Ἄρεως ἐγένετο θυγάτηρ Θρᾶσσα· ταύτην δ' ἔγημεν Ἱππόνους ὁ Τριβαλλοῦ παῖς, καὶ αὐτοῖς ἐγένετο θυγάτηρ ὄνομα Πολυφόντη· αὕτη τὰ μὲν ἔργα τῆς Ἀφροδίτης ἐξύβρισεν· ἐλθοῦσα δ' εἰς τὸ ὄρος, Ἀρτέμιδος ἐγένετο συμπαίκτρια καὶ συνήθης· Ἀφροδίτη δὲ, ὅτι αὐτῆς ἠτίμασε τὰ ἔργα, ἔρωτα ἐνέβαλεν ἄρκτου, καὶ ἐξέμηνεν αὐτήν· ἡ δὲ κατὰ δαίμονα οἰϛρήσασα, ἐμίγνυτο τῇ ἄρκτῳ· καὶ αὐτὴν ἡ Ἄρτεμις ἰδοῦσα, ἐκτόπως ἐμίσησεν, καὶ πάντα εἰς αὐτὴν ἔτρεψε τὰ θηρία· Πολυφόντη δὲ δείσασα, μὴ θῆρες αὐτὴν διεργάσωνται, φεύγουσα ἐξίκετο εἰς τὰ οἰκία τοῦ πατρὸς, καὶ ἔτεκε δύο παῖδας, Ἄγριον καὶ Ὄρειον, μεγίϛους καὶ δύναμιν ἔχοντας ἄπλετον. Οὗτοι ἐτίμων οὔτε θεὸν, οὔτε ἄνθρωπον, ἀλλ' ἐξύβριζον εἰς πάντας· καὶ εἴ τῳ ξένων ἐντύχοιεν, ἀπάγοντες εἰς τὰ οἰκία κατήσθιον· Ζεὺς

δὲ

δὲ μισήσας αὐτοὺς, ἀπέστειλεν Ἑρμῆν, ὅπως ἣν ἐθέλει δίκην αὐτοῖς ἐπιβάλῃ· καὶ ὁ μὲν Ἑρμῆς ἐβούλευσεν ἀποκόψαι τοὺς πόδας αὐτῶν καὶ τὰς χεῖρας· Ἄρης δ᾽ ἐπεὶ τὸ γένος εἰς αὐτὸν ἀνέφερε Πολυφόντη, τούτου μὲν ἐξείλετο τοῦ μόρου τοὺς παῖδας, ἤλλαξε δὲ μετὰ Ἑρμοῦ τὴν φύσιν αὐτῶν εἰς ὄρνιθας· καὶ ἐγένετο Πολυφόντη μὲν στὺξ φθεγγομένη νυκτὸς, ἄτερ σίτου καὶ ποτοῦ, τὴν κεφαλὴν ἴσχουσα κάτω, τοὺς δὲ πόδας ἄκρους ἄνω, πολέμου καὶ στάσεως ἀνθρώποις ἄγγελος· Ὄρειος δ᾽ ἐγένετο λαγὼς, ὄρνις ἐπ᾽ οὐδενὶ φαινόμενος ἀγαθῷ· Ἄγριος δὲ μετέβαλεν εἰς γύπα, πάντων ὀρνίθων ἔχθιστον θεοῖς τε καὶ ἀνθρώποις· καὶ διὰ παντὸς ἵμερον αὐτῷ κρέως καὶ αἵματος ἐνέβαλον ἀνθρωπείου· τὴν δὲ θεράπαιναν αὐτῶν ἐποίησαν ἴπνην· ἡ δὲ μεταβαλοῦσα τὴν φύσιν, ηὔξατο θεοῖς, μὴ κακὸς ὄρνις ἀνθρώποις γενέσθαι· καὶ αὐτῆς ὑπήκουσαν Ἑρμῆς καὶ Ἄρης, ἐπεὶ κατ᾽ ἀνάγκας ἔδρασεν, ἃ προσέτασσον οἱ δεσπόται· καὶ ἔστιν ἀγαθὸς οὗτος ὁ ὄρνις ἐπὶ θήραν ἰόντι καὶ δαΐτα.

ΤΕΡΑΜ-

# ΤΕΡΑΜΒΟΣ. κβ'.

Ἱστορεῖ Νίκανδρος ἐν α' ἑτεροιουμένων.

Τέραμβος Εὐσείρου τοῦ Ποσειδῶνος καὶ Εἰδοθέας νύμφης Ὀθρηίδος, ᾤκει ἐν τῇ γῇ τῇ Μηλιέων παρὰ τὴν ὑπώρειαν τῆς Ὄθρυος· ἐγένετο δὲ αὐτῷ θρέμματα πλεῖστα, καὶ αὐτὰ ἐποίμαινεν αὐτός· νύμφαι δὲ συνελάμβανον αὐτῷ, διότι αὐτὰς ἐν τοῖς ὄρεσιν ᾄδων ἔτερπεν· λέγεται γὰρ μουσικώτατος τῶν τότε γενέσθαι, καὶ ἐπὶ βουκολικοῖς ᾄσμασι διαβοηθῆναι, καὶ σύριγγα ποιμενικὴν ἐν τοῖς ὄρεσι συνθεῖναι, καὶ λύρᾳ πρῶτος ἀνθρώπων κεχρῆσθαι, πλεῖστά τε καὶ κάλλιστα μέλη ποιῆσαι· τούτων οὖν χάριν λέγουσιν ὀφθῆναι αὐτῷ ποτε νύμφας, καὶ χορεῦσαι πρὸς τὰ κρούματα τοῦ Τεράμβου· Πᾶνα δὲ τοῦτο κατ' εὐμένειαν αὐτῷ παραγγεῖλαι, καταλιπόντι τὴν Ὄθρυν ἐν τῷ πεδίῳ τὰ πρόβατα ποιμαίνειν· ἐξαίσιον γάρ τι καὶ ἄπιστον χρῆμα χειμῶνος ἐπεῖναι μέλλειν. Ὁ δὲ Τέραμβος ὑπὸ μεγαλαυχίας ἐκ νεότητος οἷα θεοβλαβὴς, ἀπελαύνειν μὲν ἐκ τῆς Ὄθρυος εἰς τὸ πεδίον οὐκ ἐγίγνωσκεν· ἀπέρριψε δὲ λόγον ἄχαρίν τε καὶ ἀνόητον εἰς τὰς νύμφας, ὅτι γένος μὲν εἰσιν οὐκ ἀπὸ Διὸς, ἀλλ' ἔτεκεν αὐτὰς ἡ

δεῖνα

δεῖνα τοῦ Σπερχειοῦ. Ποσειδῶν δὲ πειθῷ μιᾶς αὐτῶν Διοπάτρης τὰς ἀδελφὰς ἐρρίζωσε, καὶ ἐποίησεν αἰγείρους, ἄχρι αὐτὸς κορεσθεὶς τῆς εὐνῆς ἀνέλυσε, καὶ πάλιν αὐταῖς ἀπέδωκε τὴν ἐξ ἀρχῆς φύσιν· τοιαῦτα μὲν ὁ Τέραμβος ἐκερτόμησεν εἰς τὰς νύμφας. Μετὰ δὲ χρόνον ὀλίγον ἐξαίφνης ἐγένετο κρυμὸς, καὶ ἐπάγησαν αἱ χαράδραι, καὶ πολλὴ κατέπεσε χιὼν, καὶ τὰ ποίμνια τοῦ Τεράμβου σὺν αὐταῖς ἀτραποῖς καὶ δένδρεσιν ἠφανίσθη· νύμφαι δὲ μετέβαλον κατ᾽ ὀργὴν τὸν Τέραμβον, ὅτι αὐταῖς ἐλοιδόρησε, καὶ ἐγένετο ὑλοφάγος κεράμβυξ· φαίνεται δὲ ἐπὶ τῶν ξύλων, καὶ ἔστιν ἀγκύλος ἐκ τῶν ὀδόντων, καὶ συνεχῶς τὰ γένεια κινῶν, μέλας, παραμήκης, πτέρυγας στερεὰς ἔχων, ἐοικὼς τοῖς μεγάλοις κανθάροις· οὗτος ξυλοφάγος βοῦς καλεῖται, παρὰ δὲ Θετταλοῖς κεράμβυξ· τοῦτον οἱ παῖδες παίγνιον ἔχουσι, καὶ τὴν κεφαλὴν ἀποτέμνοντες, φέρουσιν· ἡ δὲ ἔοικε σὺν τοῖς κέρασι λύρᾳ τῇ ἐκ τῆς χελώνης.

BAT-

# ΒΑΤΤΟΣ. κγ΄.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α΄, καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, καὶ Διδύμαρχος μεταμορφώσεων γ΄, καὶ Ἀντίγονος ἐν ταῖς ἀλλοιώσεσι, καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν α΄.

Ἄργου τοῦ Φρίξου καὶ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης· οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας, καὶ τὴν γῆν ταύτην ἀπ᾽ αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι· ἐγένετο δ᾽ αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν Ὑμέναιος· ἐπεὶ δὲ Ἀπόλλωνα ἰδόντα ἔρως ἔλαβε τοῦ παιδὸς, καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπόλλωνος· αἱ δὲ ἐνέμοντο ἵναπερ ἦσαν αἱ Ἀδμήτου βόες· καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσὶν, αἳ ἐφύλαττον αὐτὰς, λήθαργον καὶ κυνάγχην· αἱ δὲ ἐξελάθοντο τῶν βοῶν, καὶ τὴν φυλακὴν ἀπώλεσαν· εἶτα δ᾽ ἀπελαύνει πόρτιας δώδεκα, καὶ ἑκατὸν βοῦς ἄζυγας, καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν· ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ· καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε

Πελάσ-

Πελάσγων, καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος, καὶ διὰ Λοκρίδος, καὶ Βοιωτίας, καὶ Μεγαρίδος· καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας· καὶ ἐντεῦθεν παρὰ τὸ Λύκαιον ὄρος ἐπορεύετο, καὶ παρὰ τὸ Μαινάλιον, καὶ τὰς λεγομένας Βάττου σκοπιάς· ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ τῷ σκοπέλῳ· καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκίων ἔγνω περὶ τῶν βοῶν, ὅτι κλοπιμαίας ἄγει, καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν· Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο· καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. Ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον, εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτόν· καὶ πειρώμενος εἰ αὐτῷ συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει· διδοὺς δὲ μισθὸν χλαῖναν, ἐπυνθάνετο παρ' αὐτοῦ, μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας· ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα, καὶ ἐμήνυσε περὶ τῶν βοῶν· Ἑρμῆς δὲ χαλεπήνας, ὅτι διχόμυθος ἦν, ἐῤῥάπισεν αὐτὸν τῇ ῥάβδῳ, καὶ μετέβαλεν εἰς πέτρον· καὶ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος παροδευόντων ἄχρι νῦν σκοπιὰ Βάττου.

# ΑΣΚΑΛΑΒΟΣ. κδ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Δημήτηρ ὅτε πλανῆτις ἐπῄει γῆν ἅπασαν κατὰ ζήτησιν τῆς θυγατρὸς, ἀνεπαύσατο ἐν τῇ Ἀττικῇ· καὶ αὐτὴν ὑπὸ πολλοῦ καύματος ὑποδέχεται Μίσμη, καὶ δίδοι ποτὸν ὕδωρ, ἐμβαλοῦσα γλήχωνα καὶ ἄλφιτον εἰς αὐτό· καὶ ἡ Δημήτηρ ἐξέπιε κατὰ τὸ δίψος τὸ ποτὸν ἀθρόον· ὁ δὲ παῖς ὁ τῆς Μίσμης Ἀσκάλαβος ἰδὼν, ἐποίησε γέλωτα, καὶ αὖτις ἐκέλευσεν ὀρέγειν αὐτῇ λέβητα βαθὺν, ἢ πιθάκνην· Δημήτηρ δὲ κατ' ὀργὴν ὡς εἶχε τὸ ποτὸν αὐτῷ τὸ καταλειπόμενον προσέχεεν· ὁ δὲ μεταλαβὼν, ἐγένετο ποικίλος ἐκ τοῦ σώματος ἀσκάλαβος, καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων μεμίσηται· καὶ ἔστιν αὐτῷ δίαιτα παρ' ὀχετόν· ὁ δ' ἀποκτείνας κεχαρισμένος γίνεται Δήμητρι.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0049-0

## ΜΗΤΙΟΧΗ καὶ ΜΕΝΙΠΠΗ. κέ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ΄. καὶ Κόριννα ἑτεροίων ά.

Ὠρίωνος τοῦ Ὑριέως ἐν Βοιωτίᾳ θυγατέρες ἐγένοντο Μητιόχη καὶ Μενίππη· αὗται, ὅτε Ὠρίωνα ἠφάνισεν ἐξ ἀνθρώπων Ἄρτεμις, ἐτρέφοντο παρὰ τῇ μητρί· καὶ Ἀθηνᾶ μὲν ἐδίδασκεν αὐτὰς ἱστοὺς ἐξυφαίνειν· Ἀφροδίτη δὲ αὐταῖς ἔδωκε κάλλος· ἐπεὶ δὲ Ἀονίαν ὅλην ἔλαβε λοιμὸς, καὶ πολλοὶ ἀπέθνησκον, θεωροὺς ἀπέστειλαν παρὰ τὸν Ἀπόλλωνα τὸν Γορτύνιον· καὶ αὐτοῖς εἶπεν ὁ θεὸς, ἱλάσσασθαι δύο τοὺς Ἐριουνίους· ἔφη δὲ καταπαύσειν αὐτοὺς τὴν μῆνιν, εἰ δύο δυσὶν ἑκοῦσαι παρθένοι θύματα γένοιντο· πρὸς δὲ δὴ τὸ μαντεῖον οὐδεμία τῶν ἐν τῇ πόλει παρθένων ὑπήκουσεν, ἄχρι γυνὴ θῆσσα τὸν χρησμὸν ἐξήνεγκε πρὸς τὰς θυγατέρας τοῦ Ὠρίωνος· αἱ δ᾽ ὡς ἐπύθοντο παρὰ τὸν ἱστὸν, ἑκοῦσαι τὸν ὑπὲρ αὐτῶν θάνατον ἐδέξαντο, πρὶν ἢ τὴν ἐπιδήμιον ἐπιπεσοῦσαν αὐτὰς ἀφανίσαι νόσον· τρὶς δὲ βοησάμεναι χθονίους δαίμονας, ὅτι αὐτοῖς ἑκοῦσαι θύματα γίνονται, ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι παρὰ τὴν κλεῖδα, καὶ ἀνέῤῥηξαν τὴν σφαγήν· καὶ

αὗται μὲν ἀμφότεραι κατέπεσον ἐς τὴν γῆν· Φερσεφόνη δὲ καὶ Αἴδης οἰκτείραντες τὰ μὲν σώματα τῶν παρθένων ἠφάνισαν· ἀντὶ δ' ἐκείνων ἀςέρας ἀνήνεγκαν ἐκ τῆς γῆς· οἱ δὲ φανέντες, ἀνηνέχθησαν εἰς ὀρανὸν, καὶ αὐτὲς ὠνόμασαν ἄνθρωποι κομήτας· ἱδρύσαντο δὲ πάντες Ἄονες ἐν Ὀρχομενῷ τῆς Βοιωτίας ἱερὸν ἐπίσημον τῶν παρθένων τέτων. καὶ αὐταῖς καθ' ἕκαςον ἔτος κόροι τε καὶ κόραι μειλίγματα φέρεσι· προσαγορεύεσι δ' αὐτὰς ἄχρι νῦν Αἰολεῖς κορωνίδας παρθένες.

---

## Υ Λ Α Σ. κϛ'.

Ἱςορεῖ Νίκανδρος ἑτεροιεμένων β'.

Ἡρακλῆς ὅτε μετὰ τῶν Ἀργοναυτῶν ἔπλει, ςρατηγὸς ὑπ' αὐτῶν ἀποδειχθεὶς, συνεπήγετο μεθ' αὐτὲ καὶ Ὕλαν, παῖδα μὲν Κήϋκος, ἐκτόπως νέον δὲ καὶ καλόν· ἐπεὶ δὲ πρὸς τὸ ςενὸν ἐξίκοντο τὲ Πόντε, καὶ τὰ σφυρὰ παρέπλευσαν τῆς Ἀργανθώνης, καὶ ἐγένετο χειμὼν καὶ σάλος, ἐνταῦθα καταβαλόντες ἀγκύρας, ἀνέπαυσαν τὴν ναῦν· καὶ Ἡρακλῆς παρεῖχε τοῖς ἥρωσι τὸ δεῖπνον· ὁ δὲ παῖς Ὕλας ἔχων κρωσσὸν, ἦλθε πρὸς τὸν Ἀσκάνιον ποταμὸν,

μὸν, ὕδωρ ἀποίσων τοῖς ἀριστεῦσι· καὶ αὐτὸν ἰδοῦσαι νύμφαι, τοῦ ποταμοῦ τούτου θυγατέρες, ἠράσθησαν· ἀρυόμενον δὲ καταβάλλουσιν εἰς τὴν κρήνην· καὶ ὁ μὲν Ὕλας ἀφανὴς ἐγένετο· Ἡρακλῆς δ', ἐπεὶ αὐτῷ οὐκ ἐνόστει, καταλιπὼν τοὺς ἥρωας, ἐξερευνᾷ πανταχοῦ τὸν δρυμὸν, καὶ ἐβόησε πολλάκις τὸν Ὕλαν· νύμφαι δὲ δείσασαι τὸν Ἡρακλέα, μὴ αὐτὸν εὕροι κρυπτόμενον παρ' αὐταῖς, μετέβαλον τὸν Ὕλαν, καὶ ἐποίησαν ἠχὼ, καὶ πρὸς τὴν βοὴν πολλάκις ἀντεφώνησεν Ἡρακλεῖ· καὶ ὁ μὲν ὡς οὐκ ἐδύνατο, πλεῖστα ποιησάμενος, ἐξευρεῖν τὸν Ὕλαν, παρεγένετο πρὸς τὴν ναῦν· καὶ αὐτὸς μὲν ἔπλει μετὰ τῶν ἀριστέων, Πολύφημον δὲ καταλείπει ἐν τῷ χωρίῳ, εἴ πως δύναιτο ζητῶν ἐξευρεῖν αὐτῷ τὸν Ὕλαν· καὶ ὁ μὲν Πολύφημος ἔφθη τελευτήσας· Ὕλᾳ δὲ θύουσι ἄχρι νῦν παρὰ τὴν κρήνην οἱ ἐπιχώριοι, καὶ αὐτὸν ἐξ ὀνόματος εἰς τρὶς ὁ ἱερεὺς φωνεῖ, καὶ εἰς τρὶς ἀμείβεται πρὸς αὐτὸν ἠχώ.

---

## ΙΦΙΓΕΝΕΙΑ. κζʹ.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δʹ.

Θησέως καὶ Ἑλένης τῆς Διὸς ἐγένετο θυγάτηρ Ἰφιγένεια, καὶ αὐτὴν ἐξέτρεφεν

ἡ τῆς

ἡ τῆς Ἑλένης ἀδελφὴ Κλυταιμνήστρα· πρὸς δὲ τὸν Ἀγαμέμνονα εἶπεν αὐτὴ τεκεῖν· Ἑλένη γὰρ πυνθανομένη τῶν ἀδελφῶν, ἔφη κόρη παρὰ Θησέως ἀπελθεῖν· ἐπεὶ δὲ ἡ στρατεία ἡ τῶν Ἀχαιῶν ὑπὸ ἀπλοίας ἐν Αὐλίδι κατείχετο, προεσήμαινον οἱ μάντεις, ὅτι ἔσοιτο πλοῦς, ἐὰν Ἀρτέμιδι θύσωσι τὴν Ἰφιγένειαν· Ἀγαμέμνων δὲ διδοῖ σφάγιον αὐτὴν αἰτούντων τῶν Ἀχαιῶν· πρὸς δὲ τὸν βωμὸν ἀγομένην οἱ ἀριστεῖς οὐ προσέβλεψαν, ἀλλὰ πάντες ἔτρεψαν ἄλλῃ τὰς ὄψεις· Ἄρτεμις δὲ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε μόσχον, αὐτὴν δὲ προσωτάτω τῆς Ἑλλάδος ἀπήνεγκεν εἰς τὸν Εὔξεινον λεγόμενον πόντον, παρὰ Θόαντα τὸν Βορυσθένους παῖδα· καὶ τὸ μὲν ἔθνος ἐκεῖνο τῶν νομάδων ἐκάλεσε Ταύρους, ἐπεὶ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε ταῦρον, αὐτὴν δὲ ταυροπόλον· κατὰ δὲ χρόνον ἱκνούμενον ἀπῴκισε τὴν Ἰφιγένειαν εἰς τὴν Λευκὴν λεγομένην παρὰ τὸν Ἀχιλλέα, καὶ ἀλλάξασα ἐποίησεν αὐτὴν ἀγήρων καὶ ἀθάνατον δαίμονα, καὶ ὠνόμασεν ἀντὶ τῆς Ἰφιγενείας Ὀρσιλοχίαν· ἐγένετο δὲ Ἀχιλλεῖ σύνοικος.

## ΤΥΦΩΝ. κή.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ΄.

Τυφὼν ἐγένετο γῆς υἱὸς ἐξαίσιος δαίμων πρὸς ἰσχὺν, κατὰ δὲ τὴν ὄψιν παρηλλαγμένος· ἐπεφύκεσαν γὰρ κεφαλαὶ πλεῖσται, καὶ χεῖρες, καὶ πτέρυγες, ἐκ δὲ τῶν μηρῶν μέγισται δρακόντων σπεῖραι· φωνὰς δὲ παντοίας ἠφίει, καὶ αὐτὸν οὐδὲν ὑπέμενεν εἰς ἀλκήν· οὗτος ἐπεθύμησε τοῦ Διὸς ἔχειν τὴν ἀρχὴν, καὶ αὐτὸν ἐπερχόμενον οὐδεὶς ὑπέμεινε τῶν θεῶν, ἀλλὰ δείσαντες ἔφυγον πάντες εἰς τὴν Αἴγυπτον· Ἀθηνᾶ δὲ καὶ Ζεὺς ὑπελείφθησαν μόνοι· Τυφὼν δ᾽ ἐκ ποδὸς ἐδίωκεν· οἱ δὲ προμηθείᾳ διέφυγον, ἀλλάξαντες εἰς ζῶα τὰς ὄψεις· καὶ Ἀπόλλων μὲν ἐγένετο ἱέραξ, Ἑρμῆς δὲ ἶβις, Ἄρης δὲ λεπιδωτὸς ἰχθὺς, Ἄρτεμις δὲ αἴλουρος· τράγῳ δὲ εἰκάζεται Διόνυσος, ἔλλῳ δ᾽ Ἡρακλῆς, βοῒ δ᾽ Ἥφαιστος, μυγαλῇ δὲ Λητώ· καὶ ὡς ἕκαστος ἔτυχε τῶν ἄλλων θεῶν μετέβαλε τὴν ὄψιν· ἐπεὶ δὲ Τυφῶνα Ζεὺς βάλλει κεραυνῷ· καιόμενος δὲ ὁ Τυφὼν ἔκρυψεν ἑαυτὸν, καὶ ἠφάνισεν τὴν φλόγα τῇ θαλάσσῃ· Ζεὺς δὲ οὐκ ἀνίησιν, ἀλλὰ μέγιστον ὄρος ἐπιβάλλει Τυφῶνι τὴν

Αἴτνην,

Αἴτνην, καὶ αὐτῷ φύλακα τὸν Ἥφαιστον ἐπὶ τῶν ἄκρων ἐφίστησιν· ὁ δ' ἐνερείσας τοὺς ἄκμονας αὐτοῦ τῷ τραχήλῳ, διάπυρον ἐργάζεται μύδρον.

---

## ΓΑΛΙΝΘΙΑΣ. κθ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Προίτου θυγάτηρ ἐν Θήβαις ἐγένετο Γαλινθιάς· αὕτη παρθένος ἦν συμπαίκτρια καὶ ἑταιρὶς Ἀλκμήνης τῆς Ἠλεκτρύωνος· ἐπεὶ δὲ Ἀλκμήνην ὁ τόκος ἤπειγε τοῦ Ἡρακλέους, μοῖραι καὶ Εἰλείθυια πρὸς χάριν τῆς Ἥρας κατεῖχον ἐν ταῖς ὠδῖσι τὴν Ἀλκμήνην· καὶ αὗται μὲν ἐκαθέζοντο κρατοῦσαι τὰς ἑαυτῶν χεῖρας· Γαλινθιὰς δὲ δείσασα, μὴ Ἀλκμήνην ἐκστήσωσι βαρυνομένην οἱ πόνοι, δραμοῦσα παρά τε τὰς μοίρας καὶ τὴν Εἰλείθυιαν ἐξήγγειλεν, ὅτι Διὸς βουλῇ γέγονε τῇ Ἀλκμήνῃ παῖς κόρος· αἱ δὲ ἐκείνων τιμαὶ καταλέλυνται· πρὸς δὴ τοῦτ' ἔκπληξις ἔλαβε τὰς μοίρας, καὶ ἀνῆκαν εὐθὺς τὰς χεῖρας· Ἀλκμήνην δὲ κατέλιπον εὐθὺς αἱ ὠδῖνες· καὶ ἰγένετο Ἡρακλῆς, αἱ δὴ μοῖραι πένθος ἐποιήσαντο, καὶ τῆς Γαλινθιάδος ἀφείλοντο τὴν κορείαν, ὅτι θνητὴ τοὺς θεοὺς ἐξηπάτησε, καὶ αὐτὴν ἐποίη-

σαν δολερὰν γαλῆν, καὶ δίαιταν ἔδωκαν ἐν τῷ μυχῷ, καὶ ἄμορφον ἀπέδειξαν τὴν εὐνήν· θορίσκεται μὲν γὰρ διὰ τῶν ὤτων· τίκτει δ' ἀναφέρουσα τὸ κυόμενον ἐκ τοῦ τραχήλου· ταύτην Ἑκάτη πρὸς τὴν μεταβολὴν τῆς ὄψεως ᾤκτειρε· καὶ ἀπέδειξεν ἱερὰν αὐτῆς διάκονον· Ἡρακλῆς δ' ἐπεὶ ηὐξήθη, τὴν χάριν ἐμνημόνευσε, καὶ αὐτῆς ἐποίησεν ἀφίδρυμα παρὰ τὸν οἶκον, καὶ ἱερὰ προσήνεγκε· ταῦτα νῦν ἔτι τὰ ἱερὰ Θηβαῖοι φυλάττουσι, καὶ πρὸ Ἡρακλέους ἑορτῇ θύουσι Γαλινθιάδι πρώτῃ.

---

## ΒΙΒΛΙΣ. λ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.

Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω θυγατρὸς ἐγένετο παῖς ἐν Κρήτῃ Μίλητος· τοῦτον ἡ Ἀκακαλλὶς δείσασα Μίνω ἐξέβαλλεν εἰς τὴν ὕλην, καὶ αὐτὸν ἐπιφοιτῶντες λύκοι, βουλῇ Ἀπόλλωνος, ἐφύλαττον, καὶ ὤρεγον παρὰ μέρος γάλα· ἔπειτα δὲ βουκόλοι περιτυχόντες ἀνείλοντο, καὶ ἔτρεφον ἐν τοῖς οἰκείοις· ἐπεὶ δὲ ὁ παῖς ηὔξετο, καὶ ἐγένετο καλὸς, καὶ δραστήριος, καὶ ὁ Μίνως κατὰ πόθον ἐνεχείρει βιάζεσθαι, τότε νυκτὸς ὁ Μίλητος ἐμβὰς εἰς ἄκατον,

βελῆ Σαρπήδονος εἰς Καρίαν ἀποδιδράσκει, καὶ πόλιν ἐνταυθοῖ κτίσας Μίλητον ἔγημεν Εἰδοθέην τὴν Εὐρύτȣ θυγατέρα τȣ̃ βασιλέως τῶν Καρῶν· καὶ ἐγένοντο δίδυμοι παῖδες αὐτῷ Καῦνος, ἀφ᾽ ȣ̃ πόλις ἐςὶν ἔτι νῦν ἐν Καρίᾳ, καὶ Βιβλὶς· ταύτης ἐγένοντο πλεῖςοι μνηςῆρες ἐπιχώριοι, καὶ κατὰ κλέος ἐκ τῶν πέριξ πόλεων· ἡ δὲ τῶν μὲν λόγον ἐποιεῖτο βραχὺν, αὐτὴν δὲ ἄφατος ἔρως ἐξέμηνε τȣ̃ Καύνȣ· καὶ τὸ πάθος, ἄχρι μὲν ἐδύνατο κρύπτειν, ἐλελήθει τȣ̀ς γονεῖς· ἐπεὶ δὲ καθ᾽ ἡμέραν εἴχετο χαλεπωτέρῳ δαίμονι, νυκτὸς ἔγνω καταβαλεῖν ἐκ τῆς πέτρας ἑαυτήν· καὶ ἡ μὲν εἰς τὸ πλησίον ὄρος παρελθȣ̃σα ῥίπτειν ἑαυτὴν ἐπεχείρησε· νύμφαι δὲ κατέσχον οἰκτείρασαι, καὶ πολὺν ὕπνον ἐνέβαλον, καὶ αὐτὴν ἤλλαξαν ἀπ᾽ ἀνθρώπων εἰς δαίμονα, καὶ ὠνόμασαν Ἁμαδρυάδα νύμφην Βιβλίδα, καὶ ἐποιήσαντο συνδίαιτον ἑταιρίδα· καλεῖται δὲ καὶ τὸ ῥέον ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρὰ τοῖς ἐπιχωρίοις δάκρυον Βιβλίδος.

# ΜΕΣΣΑΠΙΟΙ. λά.

Ἱϛορεῖ Νίκανδρος ἑτεροιουμένων β΄.

Λυκάονος τοῦ αὐτόχθονος ἐγένοντο παῖδες Ἰάπυξ, καὶ Δαύνιος, καὶ Πευκέτιος· οὗτοι λαὸν ἀθροίσαντες, ἀφίκοντο τῆς Ἰταλίας παρὰ τὸν Ἀδρίαν· ἐξελάσαντες δὲ τοὺς ἐνταυθοῖ οἰκοῦντας Αὔσονας, αὐτοὶ καθιδρύθησαν· ἦν δὲ τὸ πλέον αὐτοῖς τῆς ϛρατιᾶς ἔποικον, Ἰλλυριοὶ, Μεσσάπιοι· ἐπεὶ δὲ τὸν ϛρατὸν ἅμα καὶ τὴν γῆν ἐμέρισαν τριχῆ, καὶ ὠνόμασαν ὡς ἑκάϛοις ἡγεμόνος εἶχε, Δαυνίους, καὶ Πευκετίους, καὶ Μεσσαπίους· τὸ μὲν ἀπὸ Τάραντος ἄχρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰταλίας ἐγένετο Μεσσαπίων, ἐν ᾗ πόλις ᾤκηται Βρεντέσιον· τὸ δὲ παρὰ τὴν ἐντὸς τοῦ Τάραντος ἐγένετο Πευκετίων· ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης ἐπέπλεον Δαύνιοι· τὸ δὲ σύμπαν ἔθνος ὠνόμασαν Ἰαπύγων· καὶ ἐγένετο ταῦτα πολὺ πρὸ τῆς Ἡρακλέους ϛρατείας· ἦν δὲ τοῖς τότε βίος ἀπὸ θρεμμάτων καὶ νομῆς· μυθολογοῦσιν οὖν ἐν τῇ Μεσσαπίων γῇ παρὰ τὰς λεγομένας ἱερὰς πέτρας φανῆναι νύμφας Ἐπιμηλίδας χορευούσας· τοὺς δὲ παῖδας τῶν Μεσσαπίων, καταλιπόντας τὰ ποίμνια καὶ θεωμένους, εἰπεῖν, ὅτι βέλτιον

αὐτοὶ χορεύουσιν· οὗτος ὁ λόγος ἤλγυνε τὰς νύμφας, καὶ τὸ νεῖκος ἐπὶ πλέον ἐγένετο περὶ τῆς χορείας· οἱ δὲ παῖδες, ὅτι μὲν ἦν αὐτοῖς ἅμιλλα πρὸς δαίμονας, ἠγνόουν· ἐχόρευον δ᾽ οἷα πρὸς ὁμήλικας θνητὰς, καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρχήσεως, ἅτε ποιμένων, ἄμουσος ἦν· ταῖς δὲ νύμφαις πᾶν ὅσον ἢ πλεῖστον ἐπέδωκεν εἰς κάλλος· καὶ ἐπεκράτησαν χορεύσαι τῶν παίδων, καὶ ἔλεγον πρὸς αὐτοὺς τάδε· ὦ κοῦροι, τὸ νεῖκος ἤρασθε πρὸς Ἐπιμηλίδας νύμφας, οὐκοῦν ὦ ἄφρονες νικώμενοι δώσετε δίκην· καὶ οἱ παῖδες ἵναπερ ἑστήκεσαν παρὰ τὸ ἱερὸν τῶν νυμφῶν, ἐγένοντο δένδρα· καὶ ἔτι νῦν ἀκούεται φωνὴ νυκτὸς ἐκ τῆς ὕλης, οἷα θρηνούντων· ὁ δὲ τόπος ὀνομάζεται νυμφῶν τε καὶ παίδων.

---

## Δ Ρ Υ Ο Π Η. β΄.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α΄.

Δρύοψ ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ, καὶ Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων· οὗτος ἐβασίλευσε ἐν τῇ Οἴτῃ, καὶ θυγάτηρ αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη, καὶ ἐποίμαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρός·

τρός· ἐπεὶ δὲ αὐτὴν ἠγάπησαν ὑπερφυῶς Ἁμαδρυάδες νύμφαι, καὶ ἐποιήσαντο συμπαίκτριαν ἑαυτῶν, ἐδίδαξαν ὑμνεῖν θεȣ̂ς, καὶ χορεύειν· ταύτην ἰδὼν Ἀπόλλων χορεύȣσαν, ἐπεθύμησε μιχθῆναι· καὶ ἐγένετο πρῶτα μὲν χλεμμύς· ἐπεὶ δ᾽ ἡ Δρυόπη γέλωτα μετὰ τῶν νυμφῶν καὶ παίγνιον ἐποιήσατο τὴν χλεμμὺν, καὶ αὐτὴν ἐνέθετο εἰς τȣ̀ς κόλπȣς, μεταβαλὼν ἀντὶ τῆς χλεμμύος ἐγένετο δράκων, καὶ αὐτὴν κατέλειπον αἱ νύμφαι πτοηθεῖσαι· Ἀπόλλων δὲ Δρυόπη μίγνυται· ἡ δὲ ᾤχετο φεύγȣσα περίφοβος εἰς τὰ οἰκία τȣ̂ πατρὸς, καὶ ȣ̓δὲν ἔφασε πρὸς τȣ̀ς γονεῖς· ἐπεὶ δ᾽ ἔγημεν αὐτὴν ὕστερον Ἀνδραίμων ὁ Ὀξύλȣ, γεννᾷ παῖδα ἐξ Ἀπόλλωνος Ἄμφισσον· ȣ̂τος ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο πάντων κρατῶν· καὶ ἔκτισε παρὰ τὴν Οἴτην πόλιν ὁμώνυμον τῷ ὄρει, καὶ τῶν ἐκεῖ τόπων ἐβασίλευσεν· ἱδρύσατο δὲ καὶ Ἀπόλλωνος ἱερὸν ἐν τῇ Δρυοπίδι, καὶ εἰς τȣ̂το παρȣ̂σαν τὸ ἱερὸν Δρυόπην ἥρπασαν Ἁμαδρυάδες νύμφαι κατ᾽ εὐμένειαν· καὶ αὐτὴν μὲν ἀπέκρυψαν εἰς τὴν ὕλην, ἀντὶ δ᾽ ἐκείνης αἴγειρον ἀνέφηναν ἐκ τῆς γῆς, καὶ παρὰ τὴν αἴγειρον ὕδωρ ἀνέρρηξαν· Δρυόπη δὲ μετέβαλε, καὶ ἀντὶ θνητῆς ἐγένετο νύμφη· Ἄμφισσος δὲ ἀντὶ τῆς πρὸς τὴν μητέρα χάριτος ἱερὸν ἱδρύσατο νυμφῶν, καὶ πρῶτος ἀγῶνα ἐπετέλεσε δρόμȣ, καὶ ἔτι

νῦν

νῦν οἱ ἐπιχώριοι τὸν ἀγῶνα διαφυλάσσουσι τοῦτον· γυναικὶ δ' οὐχ ὅσιον παρατυχεῖν, ὅτι Δρυόπην ἀφανισθεῖσαν ὑπὸ νυμφῶν δύο παρθένοι τοῖς ἐπιχωρίοις ἐδήλωσαν, πρὸς ἃς ἐχαλέπηναν αἱ νύμφαι, καὶ αὐτὰς ἀντὶ παρθένων ἐλάτας ἐποίησαν.

---

## ΑΛΚΜΗΝΗ. λγ'.

Ἱστορεῖ Φερεκύδης.

Μετὰ τὸν Ἡρακλέους ἐξ ἀνθρώπων ἀφανισμὸν Εὐρυσθεὺς ἐξελάσας τοὺς αὐτοῦ τῆς πατρίδος, αὐτὸς ἐβασίλευεν· οἱ δὲ Ἡρακλεῖδαι καταφυγόντες πρὸς Δημοφῶντα τὸν Θησέως, ᾤκησαν τὴν τετράπολιν τῆς Ἀττικῆς· Εὐρυσθεὺς δὲ πέμψας ἄγγελον εἰς Ἀθήνας, πόλεμον προέλεγε τοῖς Ἀθηναίοις, εἰ μὴ τοὺς Ἡρακλείδας ἐξελάσωσιν· οἱ μὲν οὖν Ἀθηναῖοι τὸν πόλεμον οὐκ ἀπολέγονται, Εὐρυσθεὺς δ' ἐνέβαλεν εἰς τὴν Ἀττικὴν, καὶ παραταξάμενος αὐτὸς μὲν ἀποθνήσκει μαχόμενος· ἡ δὲ πληθὺς ἐτράπη τῶν Ἀργείων· Ὕλλος δὲ καὶ οἱ ἄλλοι Ἡρακλεῖδαι σὺν αὐτῷ ἀποθανόντος Εὐρυσθέως κατοικίζονται πόλιν ἐν Θήβαις· ἐν δὲ τούτῳ καὶ Ἀλκμήνη κατὰ γῆρας ἀποθνήσκει, καὶ αὐτὴν ἐξεκόμισαν Ἡρακλεῖδαι· ᾤκουν δὲ

παρὰ

παρὰ τὰς Ἠλέκτρας πύλας, ὅθιπερ καὶ Ἡρακλῆς ἐν τῇ ἀγορᾷ· Ζεὺς δὲ Ἑρμῆν πέμπει, κελεύων Ἀλκμήνην ἐκκλέψαι, καὶ ἀπενεγκεῖν εἰς μακάρων νήσους, καὶ δοῦναι Ῥαδαμάνθυϊ γυναῖκα· Ἑρμῆς δὲ πεισθεὶς Ἀλκμήνην ἐκκλέπτει, λίθον δ' ἀντ' αὐτῆς ἐντίθησιν εἰς τὴν σορόν· οἱ δ' Ἡρακλεῖδαι ἐπεὶ τὴν λάρνακα φέροντες ἐβαρύνοντο, κατατίθενται· καὶ ἀποκαλύψαντες, εὗρον ἀντὶ τῆς Ἀλκμήνης λίθον, καὶ αὐτὸν ἐξελόντες, ἔστησαν ἐν τῷ ἄλσει, ὅθιπέρ ἐστιν τὸ ἡρῷον τὸ τῆς Ἀλκμήνης ἐν Θήβαις.

---

## ΣΜΥΡΝΑ. λδ'.

Θείαντος τοῦ Βήλου καὶ Ὠρειθυΐας μιᾶς τῶν νυμφῶν ἐγένετο θυγάτηρ ἐν τῷ ὄρει τῷ Λιβάνῳ Σμύρνα· ταύτην διὰ κάλλος πλεῖστοι καὶ ἐκ πόλεων πλείστων ἐμνήστευον· ἡ δὲ πολλὰ ἐμηχανᾶτο πρὸς ἀπάτην τῶν γονέων, καὶ ἀνάθεσιν τοῦ χρόνου· δεινὸς γὰρ αὐτὴν ἔρως ἐξέμηνεν ἐπὶ τῷ πατρί· καὶ κατὰ μὲν ἀρχὰς δι' αἰδῶ κατέκρυπτε τὴν νόσον· ἐπεὶ δὲ τὸ πάθος αὐτὴν προσῆγεν, ἐξεῖπε τὸν λόγον πρὸς Ἱππολύτην τὴν τροφόν· ἡ δὲ παραδώσειν αὐτῇ ἄκος τοῦ παραλόγου πάθους ὑποσχομένη, λόγον πρὸς

τὸν Θείαντα προσέφερεν, ὅτι αὐτῷ κόρη μακαρίων ἀνθρώπων ποθεῖ παραγενέσθαι κρυφαῖος εἰς τὴν κοίτην· ὁ δὲ Θείας (ȣ̓ γὰρ ἐγίνωσκεν οἷα ἐπ᾽ αὐτῷ ἐμηχανᾶτο) κατήνεσε τὸν λόγον· καὶ ὁ μὲν ἐν τῷ οἴκῳ σκοταῖος ἐπὶ τῆς ςρωμνῆς ἐξεδέχετο τὴν κόρην· ἡ δὲ τροφὸς κατακρύψασα τῇ ἐσθῆτι τὴν Σμύρναν παρήγαγε· καὶ πλείονα χρόνον ἐλελήθει πρασσόμενον ἄχαρι καὶ ἄθεσμον ἔργον· καὶ ὡς ἐκύησε μὲν ἡ Σμύρνα, Θείαντα δὲ πόθος ἔλαβεν ἐκμαθεῖν, ἥτις ἦν ἡ κύȣσα· καὶ ὁ μὲν κατέκρυψε πῦρ εἰς τὸν οἶκον· Σμύρνα δ᾽ ὡς ἐξίκετο πρὸς αὐτὸν, ἐπάϊςος ἐγένετο, προσενεχθέντος ἐξαπίνης τȣ̃ πυρός· καὶ τὸ βρέφος μὲν ἐξέβαλεν ἐκ τῆς γαςρός· αὕτη δ᾽ ἀνασχȣ̃σα τὰς χεῖρας ηὔξατο μήτε παρὰ ζῶσι, μήτ᾽ ἐν νεκροῖς φανῆναι· καὶ αὐτὴν ὁ Ζεὺς μεταβαλὼν ἐποίησε δένδρον, καὶ ἐκάλει ὁμώνυμον αὐτῇ Σμύρναν· τȣ̃το λέγεται κατ᾽ ἔτος ἕκαςον δακρύειν τὸν ἀπὸ τȣ̃ ξύλȣ καρπόν· καὶ Θείας μὲν ὁ πατὴρ τῆς Σμύρνης δι᾽ ἔργον ἀθέμιςον ἑαυτὸν ἀνεῖλε· τὸ δὲ βρέφος Διὸς βȣλῇ τρεφόμενον ὠνόμασαν Ἄδωνιν, καὶ αὐτὸν Ἀφροδίτη πλεῖςον ἠγάπησε διὰ τὸ κάλλος.

# ΒΟΥΚΟΛΟΙ. λέ.

Ἱστορεῖ Μενεκράτης Ξάνθιος Λυκιακοῖς· καὶ Νίκανδρος.

Λητὼ ἐπεὶ ἔτεκεν Ἀπόλλωνα καὶ Ἄρτεμιν ἐν Ἀστερίᾳ τῇ νήσῳ, ἀφίκετο εἰς Λυκίαν, ἐπιφερομένη τοὺς παῖδας ἐπὶ τὰ λουτρὰ τοῦ Ξάνθου· καὶ ἐπεὶ τάχιστα ἐγένετο ἐν τῇ γῇ ταύτῃ, ἐνέτυχε πρῶτα Μελίτῃ κρήνῃ· καὶ προεθυμεῖτο πρὶν ἐπὶ τὸν Ξάνθον ἐλθεῖν, ἐνταυθοῖ τοὺς παῖδας ἀπολοῦσαι· ἐπεὶ δ' αὐτὴν ἐξήλασαν ἄνδρες βουκόλοι, ὅπως ἂν αὐτοῖς οἱ βόες ἐκ τῆς κρήνης πίωσιν, ἀπαλλάττεται καταλιποῦσα τὴν Μελίτην ἡ Λητώ· λύκοι δὲ συναντόμενοι καὶ σήναντες, ὑφηγήσαντο τῆς ὁδοῦ, καὶ ἀπήγαγον ἄχρι πρὸς τὸν ποταμὸν αὐτὴν τὸν Ξάνθον· ἡ δὲ πιοῦσα τοῦ ὕδατος καὶ ἀπολέσασα τοὺς παῖδας, τὸν μὲν Ξάνθον ἱερὸν ἀπέδειξεν Ἀπόλλωνος, τὴν δὲ γῆν Τρεμιλίδα λεγομένην Λυκίαν μετωνόμασεν ἀπὸ τῶν καθηγησαμένων λύκων· ἐπὶ δὲ τὴν κρήνην αὖτις ἐξίκετο, δίκην ἐπιβαλοῦσα τοῖς ἀπελάσασιν αὐτὴν βουκόλοις· καὶ οἱ μὲν ἀπελοῦντο ἔτι παρὰ τὴν κρήνην τοὺς βοῦς· Λητὼ δὲ μεταβαλοῦσα πάντας, ἐποίησε βατράχους· καὶ λίθῳ τραχεῖ τύπτουσα τὰ νῶτα καὶ τοὺς ὤμους,

ὤμους, κατέβαλε πάντας εἰς τὴν κρήνην, καὶ βίον ἔδωκεν αὐτοῖς κατ᾽ ὕδατος· οἱ δ᾽ ἄχρι νῦν παρὰ ποταμοὺς βοῶσι καὶ λίμνας.

---

## ΠΑΝΔΑΡΕΟΣ. λϛ΄.

Ἡνίκα Ῥέα φοβουμένη Κρόνον κατέκρυψεν ἐν τῷ κευθμῶνι τῆς Κρήτης τὸν Δία, τότε αὐτὸν ἐξέθρεψεν αἲξ νύμφη μαστὸν ὀρέγουσα· τὴν αἶγα δὲ Ῥέας βουλῇ κύων χρύσεος ἐφύλαττεν· ἐπεὶ δὲ Ζεὺς Τιτῆνας ἐξελάσας, τὸν Κρόνον ἀφείλετο τῆς ἀρχῆς, ἐποίησε τὴν μὲν αἶγα μεταβαλὼν ἀθάνατον· καὶ αὐτῆς ἔτι νῦν εἴδωλόν ἐστιν ἐν τοῖς ἄστροις· τὸν δὲ κύνα τὸν χρύσεον ἀπέδειξε φυλάττειν τὸ ἱερὸν ἐν Κρήτῃ· τοῦτον Πανδάρεος ὁ Μέροπος κλέψας, ᾤχετο φέρων εἰς Σίπυλον, καὶ αὐτὸν παρεδέξατο φυλάττειν παρὰ τοῦ Πανδαρέου Τάνταλος ὁ Διὸς καὶ Πλουτοῦς· ἐπεὶ δὲ μετὰ χρόνον Πανδάρεος ἐλθὼν εἰς Σίπυλον ἀπήτει τὸν κύνα, Τάνταλος ὤμοσε μὴ λαβεῖν· Ζεὺς δὲ Πανδάρεον μὲν ἀντὶ τῆς κλοπῆς ἐποίησεν, ὅθιπερ εἱστήκει, πέτρον· Τάνταλον δὲ, ἐπεὶ τὸν ὅρκον ἐψεύσατο, κατέβαλε, καὶ περὶ αὐτὸν ὑπὲρ κεφαλῆς τὸν Σίπυλον.

# ΔΩΡΙΕΙΣ. λζ.

Διομήδης μετὰ τὴν ἅλωσιν Ἰλίȣ παραγενόμενος εἰς Ἄργος, Αἰγιάλειαν μὲν ἐμέμψατο τὴν γυναῖκα τὴν ἑαυτȣ͂ χάριν ἔργων Ἀφροδίτης· αὐτὸς δ' εἰς Καλυδῶνα τῆς Αἰτωλίας ἀφίκετο, καὶ ἀνελὼν Ἄγριον καὶ τȣ̀ς παῖδας, Οἰνεῖ τῷ προπάτορι τὴν βασιλείαν ἀποδίδωσιν· αὖτις δὲ πλέων εἰς Ἄργος ὑπὸ χειμῶνος εἰς τὸν Ἰόνιον ἐκφέρεται πόντον· ἐπεὶ δὲ παραγενόμενον αὐτὸν ἔγνω Δαύνιος ὁ βασιλεὺς ὁ τῶν Δαυνίων, ἐδεήθη τὸν πόλεμον αὐτῷ συμπολεμῆσαι πρὸς Μεσσαπίȣς ἐπὶ μέρει γῆς καὶ γάμῳ θυγατρὸς τῆς ἑαυτȣ͂· καὶ Διομήδης ὑποδέχεται τὸν λόγον· ἐπεὶ δὲ παραταξάμενος ἐτρέψατο τȣ̀ς Μεσσαπίȣς, καὶ ἔλαβε τὴν γῆν, ταύτην μὲν Δωριεῦσιν ἔνειμεν τοῖς σὺν αὐτῷ, δύο δὲ παῖδας ἐκ τῆς θυγατρὸς ἔσχε τῆς Δαυνίȣ, Διομήδη καὶ Ἀμφίνομον· τελευτήσαντα δ' αὐτὸν κατὰ γῆρας ἐν Δαυνίοις ἐκτέρισαν οἱ Δωριεῖς ἐν τῇ νήσῳ, καὶ ὠνόμασαν αὐτὴν Διομήδειαν· αὐτοὶ δ' ἐγεώργȣν ἣν ἐδάσαντο παρὰ τȣ͂ βασιλέως γῆν, καὶ αὐτοῖς ἐξέφερε πλεῖσον καρπὸν, κατ' ἐμπειρίαν γεωργικῶν ἔργων· Δαυνίȣ δ' ἀποθανόντος ἐπεβȣ́λευσαν Ἰλλυριοὶ βάρβαροι

κατὰ

κατὰ φθόνον αὐτῶν τῆς γῆς, καὶ ἀνεῖλον ἐν τῇ νήσῳ πάντας ἔντομα θύοντας ἐπιφανέντες οἱ Ἰλλυριοὶ τοὺς Δωριεῖς· Διὸς δὲ βουλῇ τὰ σώματα μὲν ἠφανίσθη τῶν Ἑλλήνων, αἱ ψυχαὶ δὲ μετέβαλον εἰς ὄρνιθας· καὶ ἔτι νῦν Ἑλληνικὴ μὲν ἐπὰν καθορμίσηται ναῦς, φοιτῶσι πρὸς αὐτοὺς οἱ ὄρνιθες· Ἰλλυρικὴν δὲ φεύγουσι ναῦν, καὶ ἀφανίζονται πάντες ἐκ τῆς νήσου.

---

## ΛΥΚΟΣ. λή.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων ά.

Αἰακῷ τῷ Διὸς καὶ Αἰγίνης τῆς Ἀσωποῦ παῖδες ἐγένοντο Τελαμὼν καὶ Πηλεὺς, καὶ τρίτος Φῶκος ἐκ Ψαμάθης τῆς Νηρέως· τοῦτον ἐφίλησε περισσῶς Αἰακὸς, ὅτι καλὸς κἀγαθὸς ἦν ἀνήρ· Πηλεὺς δὲ καὶ Τελαμὼν φθονήσαντες αὐτῷ κτείνουσι θανάτῳ κρυφαίῳ, καὶ διὰ τοῦτ᾽ ἐξελαθέντες ὑπ᾽ Αἰακοῦ τὴν Αἴγιναν ἐξέλειπον· ᾤκησε δὲ Τελαμὼν μὲν Σαλαμῖνα τὴν νῆσον· Πηλεὺς δ᾽ ἐξίκετο πρὸς Εὐρυτίωνα τὸν Ἴρου· καὶ ἱκετεύσας καθαίρεται παρ᾽ αὐτῷ τὸν φόνον· καὶ αὖτις Εὐρυτίωνα ἐν κυνηγεσίοις ἄκων ἐπὶ συὸς βολῇ κτείνει· καὶ φυγὼν ἔρχεται παρὰ Ἄκαστον, οὗ ὑπὸ τῆς γυναικὸς πρὸς

ἀφροδίσιον ἔργον καταλείπεται μόνος ἐν τῷ Πηλίῳ· καὶ πλαζόμενος ἐντυγχάνει Χείρωνι τῷ Κενταύρῳ· ἱκετεύοντα δὲ αὐτὸν ὑποδέχεται ἐκεῖνος εἰς τὸ ἄντρον· καὶ Πηλεὺς ἀγείρας πολλὰ πρόβατα καὶ βοῦς, ἄγει πρὸς τὸν Ἶρον κατὰ ποινὴν τοῦ φόνου· ταύτην οὐχ ὑποδέχεται τὴν ποινὴν ὁ Ἶρος, ἀλλὰ Πηλεὺς ἀπαγαγὼν, ἀφίησι κατὰ χρησμὸν θεοῦ· καὶ τὰ πρόβατα νομέων ἔρημα λύκος ἐπελθὼν κατέδει· καὶ ὁ λύκος οὗτος κατὰ δαίμονα μεταβαλὼν ἐγένετο πέτρος· καὶ ἄχρι πλείστου διέμενε μεταξὺ Λοκρίδος καὶ τῆς Φωκέων γῆς.

---

## ΑΡΚΕΟΦΩΝ. λθʹ.

Ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ βʹ.

Ἀρκεοφῶν ὁ Μιννυρίδου πόλεως μὲν ἦν Σαλαμῖνος τῆς ἐν Κύπρῳ, γονέων δὲ οὐκ ἐπιφανῶν· ἦσαν γὰρ ἐκ Φοινίκης· χρήμασι δὲ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ πλεῖστον ὑπερήνεγκεν· οὗτος ἰδὼν τὴν θυγατέρα τὴν Νικοκρέοντος τοῦ Σαλαμινίων βασιλέως, ἠράσθη· γένος δ' ἦν τοῦ Νικοκρέοντος ἀπὸ Τεύκρου τοῦ ξυνελόντος Ἴλιον Ἀγαμέμνονι· παρ' ὃ καὶ μᾶλλον ὁ Ἀρκεοφῶν ἐφίετο τοῦ γάμου τῆς παιδός· καὶ ὑπέσχετο πλεῖστα παρὰ

τοὺς ἄλλους μνηστῆρας ἀποίσειν ἕδνα· Νικοκρέων δ' οὐχ ὑποδέχεται τὸν γάμον κατ' αἰσχύνην γένους τοῦ Ἀρκεοφῶντος, ὅτι αὐτῷ πατέρες ἦσαν Φοίνικες· Ἀρκεοφῶντι δ' ἀποτυγχανομένῳ πρὸς τὸν γάμον πολὺ χαλεπώτερος ἦν ὁ ἔρως· καὶ νυκτὸς ἐπὶ τὰ οἰκία τῆς Ἀρσινόης ἐφοίτα, καὶ διενυκτέρευσε μετὰ τῶν Ἡλικιωτῶν· ἐπεὶ δὲ αὐτῷ πρὸς τὸ ἔργον οὐδὲν ἐτυγχάνετο, πείθει τροφὸν ἑαυτοῦ, καὶ πλεῖστα δῶρα πέμψας, ἐπειράθη τῆς παιδὸς, εἴπως αὐτῷ δύναιτο κρύφα μιχθῆναι τῶν γονέων· ἡ δὲ παῖς, ἐπεὶ τὸν λόγον ἡ τροφὸς αὐτῇ προσήνεγκε, κατεμήνυσε πρὸς τοὺς γονέας· οἱ δὲ γλῶσσαν ἄκραν, καὶ ῥῖνα, καὶ δακτύλους ἀποτεμόντες τῆς τροφοῦ, καὶ λωβησάμενοι ἀνοικτρῶς, ἐξήλασαν ἐκ τῶν οἰκίων· καὶ πρὸς τὸ ἔργον ἐνεμέσησεν ἡ θεός· Ἀρκεοφῶν μὲν οὖν καθ' ὑπερβολὴν πάθους καὶ ὑπεροψίαν τὴν πρὸς τὸν γάμον ἑκὼν ἀποθνήσκει κατὰ τροφῆς ἔνδειαν· οἱ δὲ πολῖται τὸν θάνατον οἰκτείραντες ἐπένθησαν· ἡμέρᾳ δὲ τρίτῃ τὸ σῶμα προήνεγκαν εἰς ἐμφανὲς οἱ προσήκοντες· καὶ οἱ μὲν ἔμελλον κηδεύσειν, Ἀρσινόη δὲ πρὸς ὕβριν ἐπεθύμησεν, ἐκ τῶν οἴκων ἐκκύψασα τὸ σῶμα τὸ τοῦ Ἀρκεοφῶντος κατακαιόμενον ἰδεῖν· καὶ ἡ μὲν ἐθεᾶτο, μισήσασα δὲ τὸ ἦθος Ἀφροδίτη, μετέβαλεν αὐτὴν, καὶ ἐποίη-

σεν ἐξ ἀνθρώπȣ λίθον, καὶ τȣ̀ς πόδας ἐῤῥίζωσεν ἐπὶ τὴν γῆν.

---

## ΒΡΙΤΟΜΑΡΤΙΣ. μ΄.

Κασσιοπείας τῆς Ἀραβίȣ καὶ Φοίνικος τȣ̃ Ἀγήνορος ἐγένετο Κάρμη· ταύτῃ μιγεὶς Ζεὺς ἐγέννησε Βριτόμαρτιν· αὕτη φυγȣ̃σα τὴν ὁμιλίαν τῶν ἀνθρώπων ἠγάπησεν ἀεὶ παρθένος εἶναι· καὶ παρεγένετο πρῶτα μὲν ἐπ' Ἄργος ἐκ Φοινίκης παρὰ τὰς Ἐρασίνȣ θυγατέρας Βύζην καὶ Μελίτην, καὶ Μαῖραν, καὶ Ἀγχιρόην· ἔπειτα δ' ἐκ τȣ̃ Ἄργȣς εἰς Κεφαλληνίαν ἀνέβη, καὶ αὐτὴν ὠνόμασαν οἱ Κεφαλλῆνες Λαφρίαν· καὶ ἱερὸν ἤγαγον ὡς θεῷ· ἔπειτα ἔρχεται εἰς Κρήτην, καὶ αὐτὴν ἰδὼν Μίνως, καὶ ἐρασθεὶς ἐδίωκεν· ἡ δὲ κατέφυγε παρ' ἄνδρας ἁλιέας· οἱ δὲ αὐτὴν κατέδυσαν εἰς τὰ δίκτυα, καὶ ὠνόμασαν ἐκ τȣ́τȣ Κρῆτες Δίκτυνναν, καὶ ἱερὰ προσήνεγκαν· ἐκφυγȣ̃σα δὲ Μίνωα ἐξίκετο ἡ Βριτόμαρτις εἰς Αἴγιναν ἐν πλοίῳ σὺν ἀνδρὶ ἁλιεῖ Ἀνδρομήδει· καὶ ὁ μὲν αὐτῇ ἐνεχείρησεν ὀρεγόμενος μιχθῆναι·

θῆναι· ἡ δὲ Βριτόμαρτις ἀποβᾶσα ἐκ τȣ̃ πλοίȣ, κατέφυγεν εἰς ἄλσος, ὅθιπέρ ἐςι νῦν αὐτῆς τὸ ἱερὸν, κἀνταῦθα ἐγένετο ἀφανὴς, καὶ ὠνόμασαν αὐτὴν Ἄφαιαν· ἐν δὲ τῷ ἱερῷ τῆς Ἀρτέμιδος τόνδε τόπον, ἐν ᾧ ἀφανὴς ἐγένετο ἡ Βριτόμαρτις, ἀφιέρωσαν Αἰγινῆται, καὶ ὠνόμασαν Ἀφάην, καὶ ἱερὰ ἐπετέλεσαν ὡς θεῷ.

---

## ΑΛΩΠΗΞ. μά.

Κέφαλος ὁ Δηΐονος ἔγημεν ἐν Θορικῷ τῆς Ἀττικῆς Πρόκριν τὴν θυγατέρα τὴν Ἐρεχθέως· ἦν δὲ ὁ Κέφαλος νέος καὶ καλὸς καὶ ἀνδρεῖος· ἐρασθεῖσα δὲ διὰ τὸ κάλλος ἥρπασεν αὐτὸν Ἠὼς, καὶ ἐποιήσατο σύνοικον· τότε δ' ἐν ὁ Κέφαλος ἐπειρᾶτο τῆς Πρόκριδος, εἰ συμμένειν ἀδιάφθορος αὐτῷ ἐθελήσαι· καὶ αὐτὸς μὲν καθ' ἥντινα πρόφασιν ἐσκέψατο εἰς θήρας ἰέναι, Πρόκριδι δὲ εἰσαπέςελλεν ἄνδρα οἰκέτην ἀγνῶτα φέροντα χρυσὸν πολὺν, καὶ αὐτὸν ἐδίδασκε λέγειν πρὸς τὴν Πρόκριν, ὅτι ἀνὴρ ξένος ἐρασθεὶς διδοῖ τȣ̃το τὸ χρυσίον, εἰ αὐτῷ

συγγένοιτο· ἡ δὲ Πρόκρις τὸ μὲν πρῶτον ἀπολέγεται τὸν χρυσὸν, ἐπεὶ δὲ διπλάσιον εἰσέπεμψε, ὁμολογεῖ καὶ προσδέχεται τὸν λόγον· ὁ δὲ Κέφαλος ὅτε αὐτὴν ἔγνω παρελθοῦσαν εἰς τὸν οἶκον, καὶ κατακλινεῖσαν ὡς παρὰ τὸν ξένον, δᾳδα καιομένην παρήνεγκε, καὶ κατεφώρασεν αὐτήν· Πρόκρις δὲ καταλιποῦσα τὸν Κέφαλον ὑπ' αἰσχύνης, ᾤχετο φεύγουσα παρὰ Μίνωα τὸν βασιλέα τῶν Κρητῶν· καταλαβοῦσα δ' αὐτὸν ἐχόμενον ὑπ' ἀτεκνίας, ὑπισχνεῖτο διδάσκειν τὸν τρόπον ᾧ γένοιντο παῖδες αὐτῷ· ὄφεις γὰρ καὶ σκορπίους καὶ σκολοπένδρας ὁ Μίνως οὔρεσκε, καὶ ἀπέθνησκον αἱ γυναῖκες ὅσαις ἐμίγνυτο· Πασιφάη δ' ἦν Ἡλίου θυγάτηρ ἀθάνατος· ἥγ' οὖν Πρόκρις ἐπὶ τῇ γονῇ τοῦ Μίνωος μηχανᾶται τοιόνδε· κύστιν αἰγὸς ἐνέβαλεν εἰς γυναικὸς φύσιν, καὶ ὁ Μίνως τοὺς ὄφεις πρότερον ἐξέκρινεν εἰς τὴν κύστιν, ἔπειτα δὲ παρὰ τὴν Πασιφάην εἰσιὼν, ἐμίγνυτο· καὶ ἐπεὶ αὐτοῖς ἐγένοντο παῖδες, ὁ Μίνως διδοῖ τῇ Πρόκριδι τὸν ἄκοντα καὶ τὸν κύνα· τούτους δὲ οὐδὲν ἐξέφυγε θηρίον, ἀλλὰ πάντα ἐχειροῦντο· καὶ ἡ Πρόκρις δεξαμένη, ἀφίκετο εἰς Θορικὸν τῆς Ἀττικῆς, ὅπου ᾤκει ὁ Κέφαλος, καὶ σὺν αὐτῷ ἐκυνηγέτει, ἐξαλλάξασα τὴν ἐσθῆτα, καὶ τὴν κουρὰν τῆς κεφαλῆς εἰς ἄνδρα, καὶ οὐδεὶς αὐτὴν ἰδὼν ἐγνώρισε. Κέφαλος

φαλος δὲ ἰδών, ὅτι αὐτῷ μὲν οὐδὲν ἐπετύγχανε τῶν πρὸς τὴν θήραν, ἅπαντα δὲ συνέφερε πρὸς τὴν Πρόκριν, ἐπεθύμησεν αὐτὸς τὸν ἄκοντα τοῦτον λαβεῖν, καὶ προσυπέσχετο δώσειν, εἰ αὐτῇ τῆς ὥρας ἐθελήσαι τῆς ἑαυτοῦ χαρίσασθαι· ὁ δὲ Κέφαλος παραδέχεται τὸν λόγον, καὶ ὅτε κατεκλίνησαν, ἐξέφηνεν ἑαυτὴν ἡ Πρόκρις, καὶ ὠνείδισε τὸν Κέφαλον, ἧς αὐτὸς πολὺ αἴσχιον ἐξαμάρτοι· καὶ τὸν μὲν κύνα καὶ τὸν ἄκοντα λαμβάνει Κέφαλος, Ἀμφιτρύων δὲ χρήζων τοῦ κυνός, ἐξίκετο παρὰ τὸν Κέφαλον, εἴγε ἐθελήσειεν ἅμα αὐτῷ ἐπὶ τὴν ἀλώπεκα βῆναι σὺν τῷ κυνί, καὶ ὑπέσχετο τῆς λείας Ἀμφιτρύων ἀποίσειν τῷ Κεφάλῳ τὴν μοῖραν, ἣν ἂν ἐκ τῶν Τηλεβόων λάβῃ· ἐφάνη γὰρ ἐν χρόνῳ τούτῳ Καδμείοις ἀλώπηξ, χρῆμά τι ἐξηλλαγμένον· αὕτη συνεχῶς ἐκ τοῦ Τευμησσοῦ κατιοῦσα, πολλάκις τοὺς Καδμείους ἡρπάζετο· καὶ αὐτῇ προὐτίθεσαν παιδίον διὰ τριακοστῆς ἡμέρας· ἡ δὲ κατήσθιε λαμβάνουσα, καὶ ἐπειδὴ Ἀμφιτρύωνος ἰόντος ἐδεήθη Καδμείων ἐπὶ Τηλεβόας αὐτῷ συστρατεῦσαι, καὶ οἵδ' οὐκ ἔφασαν εἰ μὴ αὐτοῖς τὴν ἀλώπεκα συνεξέλοι, συντίθεται Ἀμφιτρύων ἐπὶ τούτοις πρὸς τοὺς Καδμείους, καὶ ἐλθὼν πρὸς τὸν Κέφαλον, ἔλεγε τὴν συνθήκην, καὶ ἔπειθε βῆναι εἰς ἄσσον τῷ κυνί· ὁ δὲ Κέ-

φαλος ἀποδέχεται, καὶ ἐλθὼν κυνηγετεῖ τὴν ἀλώπεκα· ἦν δὲ θεμιτὸν, ὄυτε τὴν ἀλώπεκα καταληφθῆναι ὑπό τινος διώκοντος, ὀυδὲ τὸν κύνα ἐκφυγεῖν διωκόμενον ὀυδέν· ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ πεδίῳ τῶν Θηβαίων, Ζεὺς ἰδὼν, ἐποίησεν ἀμφοτέρους λίθους.

---

# GABRIAE
SEU
# IGNATII DIACONI
# FABULAE
IAMBIS TETRASTICHIS
SCRIPTAE
QUIBUS ACCESSERUNT
# BABRII
QUAEDAM.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0075-1

# ΓΑΒΡΙΟΥ

## ΕΛΛΗΝΟΣ

## ΤΕΤΡΑΣΤΙΧΑ.

### Περὶ ἀνθρώπου καὶ λιθίνου λέοντος.

Ἀνδρὸς ποσὶν πατεῖτο πέτρινος λέων·
Καί τις λέοντί φησι, τὴν ἰσχὺν βλέπεις;
Ἀλλ᾽ εἰ λέοντες, εἶπεν, ἤδησαν γλύφειν,
Πολλοὺς ἂν εἶδες ὄντας ἀνθρώπους λίθους.

ΕΠΙΜΥΘΙΟΝ. Ὅτι ἐπ᾽ ἀρετῇ οὐ δεῖ σεμνύνεσθαι.

### Περὶ λέοντος κοιμωμένου καὶ μυός.

Λέοντος ὑπνώττοντος, αὐχένος μέσον
Διέδραμεν μῦς, ὃς δ᾽ ἀνέστη συντόμως.
Γελᾷ δ᾽ ἀλώπηξ, καὶ λέων ἀπεκρίθη·
Οὐ μὲν πτοοῦμαι, τὴν ὁδὸν δ᾽ ἀνατρέπω.

ΕΠΙΜ. Ὅτι οὐ δεῖ καὶ μικρὰν περιφρόνησιν ἀποστρέφεσθαι.

Περὶ

## Περὶ λέοντος, καὶ κάπρυ καὶ γυπῶν.

Λέων μάχην ἔςησε πρὸς ποτὲ κάπρῳ·
Γύπες δ᾽ ἄνωθεν ἐσκόπευον τὴν ἔριν,
Βρῶσιν τὸν ἡττηθέντα ποιῆσαι τάχα·
Φίλυς δ᾽ ὁρῶντες ἦςοχυν τῶν ἐλπίδων.

ΕΠΙΜ. Ὅτι ὐ δεῖ ἀλλοτρίοις κακοῖς ἐπιχαίρειν.

## Περὶ δορκάδος καὶ λέοντος θυμωθέντος.

Λέοντα δορκὰς ὡς ἴδεν μεμηνότα,
Ὦ μοῖρα θηρῶν, εἶπεν, ἀθλιωτάτη!
Εἰ σωφρονῶν γε, δυσκάθεκτος εἶ λέων,
Πῶς νῦν μανεὶς ὐ μεςὰ δακρύων δράσεις;

ΕΠΙΜ. Ὅτι ἐξυσίαν ἔχοντα ὐ δεῖ θυμῦσθαι.

## Περὶ λέοντος, ὄνυ καὶ ἀλώπεκος.

Λέων ὄνος, κερδώ τε πρὸς θήραν ἴον·
Ὄνυ δὲ ταύτην εἰς τρίτον δεδασμένυ,
Λέων κατεσπάραξε· κερδὼ δὲ πλέον
Ἔνειμεν αὐτῷ, σωφρονισθεῖσ᾽ ἐξ ὄνυ.

ΕΠΙΜ. Ὅτι δεῖ ἐξ ὧν πάσχυσιν ἕτεροι, παιδεύεσθαι.

## Περὶ ὄνυ βαςάζοντος εἴδωλον.

Ὤμοις ὄνος παρῆγεν ἀργυρῦν βρέτας·

Ὥπερ

Ὥσπερ συναντῶν πᾶς τις αὖ ἐπροσκύνει·
Τύφῳ δ᾽ ἐπαρθεὶς, μὴ θέλων μένειν ὄνος,
Ἤκουσεν· ὁ θεὸς σὺ, τὸν θεὸν δ᾽ ἄγεις.

ΕΠΙΜ. Ὅτι τοὺς ἐν ἀξιώμασι τιμωμένους δεῖ γινώσκειν, ὅτι ἄνθρωποί εἰσιν.

## Περὶ παιδὸς ἐσθίοντος σπλάγχνα.

Βοὸς φαγὼν παῖς εἰς ἑορτὴν ἔγκατα,
Οἴμοι κέκληγ᾽, ὡς σπλάγχνα μῆτερ ἐκχέω.
Ἡ δ᾽ αὖ γελῶσα, μὴ φοβοῦ τέκνον, ἔφη·
Τῶν σῶν γὰρ οὐδὲν, ἀλλ᾽ ἐμεῖς ἀλλοτρίων.

ΕΠΙΜ. Ὅτι δεῖ τἀλλότρια ἀντιστρέφειν, καὶ μὴ γογγύζειν.

## Περὶ ἀλώπεκος καὶ βάτου.

Φραγμοὺς ἀλώπηξ ὡς ὑπερβαίνειν θέλεν,
Ὀλισθαίνουσα καὶ βάτου δεδραγμένη,
Ἐξέσο πέλμα, λοιδορεῖ δὲ τὴν βάτον·
Μέμφου σεαυτὴν, μὴ φύσιν ἐμὴν, ἔφη.

ΕΠΙΜ. Πρὸς τοὺς τὰ ἑαυτῶν κατὰ σιωπῶντας, τὰ δὲ τῶν ἑτέρων κατηγοροῦντας.

## Περὶ κώνωπος καὶ ταύρου.

Κώνωψ καθῆστο πρὸς κέρας ταύρου πάλαι,
Ὅνπερ κέλευεν, εἴπερ ἐκπτῆναι θέλει.

Ἤκουσε δ', ὥσπερ οὐκ ἔγνω καθήμενον,
Οὕτω δὲ μὴ πτήσαντος αἴσθησιν λάβῃ·
ΕΠΙΜ. Πρὸς τοὺς λογιζομένους ἑαυτοὺς εἶναι ἢ σοφοὺς, ἢ δυνατοὺς, ἢ φρονίμους, μὴ ὄντας δέ.

## Περὶ ἐλάφου καὶ αμπέλου.

Ἔλαφον ἐξήλαυνον οἱ κυνηγέται,
Ἡ τις δασείαις ἀμπέλοις ἀπεκρύβη,
Φύλλα δὲ βιβρώσκουσα τὰ τῶν ἀμπέλων,
Κυνηγετοῦσιν ἐνδίκως ἐθηράθη.
ΕΠΙΜ. Πρὸς τοὺς κακοποιοῦντας τοὺς αὐτῶν εὐεργέτας.

## Περὶ ὄφεως καὶ γεωργοῦ.

Ὄφιν θέλων τις ἀντ' ὀλέθρου παιδίου
Πλήττειν πέτραν ἔσχιζε, καὶ φιλεῖν θέλεν·
Ὄφις δέ φησι· πῶς γένοιντο συμβάσεις,
Ἕως σὺ τύμβον τόνδ', ἐγὼ πέτραν βλέπω;
ΕΠΙΜ. Ὅτι αἱ μεγάλαι ἔχθραι αδιάλλακτοί εἰσιν.

## Περὶ παιδὸς καὶ σκορπίου.

Ὡς ἀκρίδας θήρευε παῖς τις, σκορπίῳ
Προὔτεινε χεῖρας· ὃς δὲ, μὴ ψαύσῃς, ἔφη·
Ὡς εἴγε μου ψαύσειας, ἐκ κόλπων ξένων,
Καὶ τὰς ἀληθεῖς ἐκκενώσεις ἀκρίδας.

ΕΠΙΜ.

ΕΠΙΜ. Ὅτι δεῖ κακοῖς ἀνθρώποις μὴ συμμίγνυσθαι.

## Περὶ συὸς καὶ μυὸς.

Σῦς ἦγέ τις μῦν ἔργον ὄντ᾽ ἀσιτίας·
Οὓς χαλκέες βλέποντες ἔςησαν γέλων·
Ὁ μῦς δ᾽ ἔτι ζῶν, εἶπε μεσὸς δακρύων,
Ὡς ἐδὲ σῦν δύνασθε κἂν τρέφειν ἕνα;

ΕΠΙΜ. Πρὸς τὲς τὰ ἑαυτῶν παραπτώματα παραβλέποντας, τὰ δὲ τῶν ἑτέρων γελῶντας.

## Περὶ ὄνε καὶ λεοντῆς.

Φέρων λέοντος δέρμα τοῖς ὤμοις ὄνος,
Ηὔχει λέων εἶναί τις αἰπόλες βλέπων·
Ἐπεὶ δὲ γυμνὸς τῆς λεοντῆς εὑρέθη,
Τῦτον μύλων ἔμνησε τῆς ἀταξίας.

ΕΠΙΜ. Ὁ μῦθος δηλοῖ, ὅτι αἱ παρ᾽ ἀξίαν τιμαὶ τάχιστα λύονται.

## Περὶ τράγε καὶ ἀμπέλε.

Τράγῳ προσεῖπεν ἄμπελος· βλάπτεις σύ με
Κείρων τὰ φύλλα· μὴ γὰρ ἐκ ἔςι χλόη;
Ὅσον γὰρ ἂν βλάψειας, εὑρήσω τάχα
Πρὸς θυσίαν σὴν εἰς θεὲς οἶνον βλύσαι.

ΕΠΙΜ. Ὅτι πολλάκις θέλων τις ἀδικεῖν τινὰ, ὠφελεῖ αὐτόν.

## Περὶ ἀνδρὸς καὶ γαλῆς γυναικός.

Ἀνὴρ γαλῆν γυναῖκα πρὸς δόμȣς ἄγε·
Παρῆν δὲ Κύπρις εἰς ἑορτὴν τȣ͂ γάμȣ·
Νύμφη δὲ μῦν βλέψασα, συντόνῳ τάχει
Δίωκε τȣ͂τον, μὴ τραπεῖσα τὴν φύσιν.
ΕΠΙΜ. Ὅτι τὸ ἐκ φύσεως ὂν ȣ̓ μεταρέπεται.

## Περὶ δορκάδος τὴν τῶν ποδῶν λεπτότητα μεμφομένης.

Πηγαῖς ἑαυτῆς δορκὰς ὁρῶσα θέαν,
Λεπτȣ̀ς πόδας μωμεῖτο, χαῖρε δ' εἰς κέρας·
Λέων δ' ἐπεὶ δίωκε, τȣ́τȣς ἠγάπα,
Κέρας καθυβρίζȣσα, θήρας ὡς πάγην.
ΕΠΙΜ. Ὅτι πολλάκις τις ὠφελεῖται, ἐξ ὧν δοκεῖ βλάπτεσθαι.

## Περὶ ἀλώπεκος καὶ ϛαφυλῆς.

Κερδὼ βότρυν βλέπȣσα μακρᾶς ἀμπέλȣ.
Πρὸς ὕψος ἦρτο, καὶ καμȣ͂σα πολλάκις
Ἑλεῖν ἀπεῖπε· πρὸς δ' ἑαυτὴν ταῦτ' ἔφη·
Μὴ κάμνε, ϛάγες ὀμφακίζȣσιν μάλα.
ΕΠΙΜ. Πρὸς τȣ̀ς ποιȣ͂ντας τὴν ἀνάγκην φιλοτιμίαν.

## Περὶ κόρακος καὶ ἀλώπεκος.

Τυρὸν κόραξ ἔδακνε, κερδὼ δ' ἠπάτα·

Εἰ γλῶσσαν εἶχες, Ζηνὸς ἦν ὄρνις μέγας·
Εὐθὺς δὲ τόνδ' ἔῤῥιψεν, ἡ δ' αὐτὸν φάγεν·
Ἔχεις κόραξ ἅπαντα, νοῦν κτῆσαι μόνον.

ΕΠΙΜ. Πρὸς τοὺς ἐπὶ κολακείαις χαίροντας.

## Περὶ βατράχων καὶ ἡλίου.

Γάμοις ἔχαιρον βάτραχοι τοῦ ἡλίου,
Καί τις πρὸς αὐτοὺς εἶπεν· ὦ δειλὸν γένος!
Εἰ γὰρ μόνας τρέμοιμεν αὐγὰς ἡλίου,
Τίς, εἴ γε τεκνώσειε, τοῦτον βαστάσει;

ΕΠΙΜ. Πρὸς τοὺς ἐπὶ ἰδίᾳ βλάβῃ ἀγνωσίας χαίροντας.

## Περὶ ὄρνιθος ᾠὸν χρυσοῦν τικτούσης καὶ φιλαργύρου.

Ἔτικτε χρυσοῦν ᾠὸν ὄρνις εἰσάπαξ·
Καί τις πλανηθεὶς χρυσεραστὰς τὴν φρένα,
Ἔκτεινε ταύτην, χρυσὸν ὡς λαβεῖν θέλων.
Ἐλπὶς δὲ μεῖζον δῶρον ὤλεκει τύχης.

ΕΠΙΜ. Πρὸς τοὺς ἐλπίδι κέρδους εἰς ζημίαν ἐν μικροψυχίας ἐμπίπτοντας.

## Περὶ ἀστεροσκόπου καὶ ὁδοιπόρου.

Ἄστροις περισκοπῶν τις ἀστεροσκόπος
Πίπτει λεληθὼς πρὸς φρέαρ· τυχὼν δέ τις
Ὁδοιπόρος στένοντι ταῦτ' ἔφη λέγων,

Νοῦν θεὶς ἄνω, βέλτιϛε, τὴν γῆν οὐ βλέπεις;
ΕΠΙΜ. Ὅτι πολλοὶ τὰ ἐνεϛῶτα μὴ γινώσκοντες, τὰ μέλλοντα καυχῶνται γινώσκειν.

## Περὶ ἵππου καὶ κάπρου.

Ἤριζεν ἵππος ἀγριωτάτῳ κάπρῳ,
Ὁρμὴν δὲ θηρὸς ἵππος οὐ σθένων ὅλως,
Ἑαυτὸν ἐκδέδωκεν, εὑρὼν σύμμαχον
Εὔπειρον ἄνδρα πρὸς σφαγὴν τοῦ θηρίου.
ΕΠΙΜ. Ὅτι δι' ἔχθραν τινὲς καὶ εἰς δουλείαν ἑαυτοὺς ἐμβάλλουσιν.

## Περὶ ἀνδρὸς μιξότριχος, καὶ δυοῖν ἑταίραιν.

Ἐρωμένας δύ' εἶχεν ἀνὴρ μιξόθριξ·
Χρόνῳ δὲ πάντη ἀνόμοιαι καὶ τρόπῳ,
Ἡ μὲν μελαίνας, ἡ δὲ λευκὰς ἔκφερον·
Ἐξ ὧν ψιλωθεὶς, πᾶσιν ὠράθη γελως.
ΕΠΙΜ. Πρὸς τοὺς εἰς δύο ἐναντία πράγματα ἑαυτοὺς ἐμβάλλοντας.

## Περὶ ἀετοῦ τε καὶ κολοιοῦ.

Ἀρνὸν καταπτὰς ἀετὸς καθαρπάσας,
Ἰδὼν κολοιὸς, ἐν κριῷ πράττει τάδε·
Ὃν εἷλε ποιμὴν, παῖς δ' ἐφώνει τοῦτό τι·
Ἐμοὶ κολοιὸς, ἀετὸς δ' αὐτῷ πέλει.

ΕΠΙΜ.

ΕΠΙΜ. Ὅτι οὐ δεῖ μιμᾶσθαι κρείττονας.

## Περὶ κολοιοῦ τε καὶ ἄλλων ὀρνέων.

Ἀλλοτρίοις πτεροῖσιν ἠμφιεσμένος,
Ἤυχει κολοιὸς ὀρνέων ὑπερφέρειν·
Πρῶτον δὲ δῶρον ἡ χελιδὼν ἥρπακει,
Μεθ' ἣν ἅπαντες, εἶτα γυμνὸς εὑρέθη.

ΕΠΙΜ. Ὅτι τὸ ἐξ ἐράνου κάλλος διαλύεται.

## Περὶ ἀετοῦ τε καὶ οἰςοῦ.

Βέλει τὸ ςῆθος ἀετὸς τρώθη πάλαι,
Ἀλγῶν δὲ λοιπὸν ἧςο πολλὰ δακρύων·
Βλέπων δ' οἰςὸν εἶπεν ἐπτερωμένον·
Βαβαὶ, πτερόν με τὸν πτερωτὸν ὀλλύει.

ΕΠΙΜ. Πρὸς τοὺς ἐκ τῶν ἰδίων κακῶς πάσχοντας.

## Περὶ θηρῶν καὶ ὀρνέων μάχης καὶ ςρουθοῦ.

Πᾶσιν πεφύκει θηρσὶ καὶ πτηνοῖς μάχη·
Ἦλω Λίβυσσα ςρουθὸς, ἣ τοὺς δ' ἐπλάνα,
Εἶναι μὲν ὄρνις, ἐκ μέρους δὲ θηρίον,
Πτηνοῖς κάραν δεικνῦσα, τοῖς θηρσὶν πόδας.

ΕΠΙΜ. Πρὸς τοὺς δυσὶ κυρίοις δουλεύοντας καὶ πλανῶντας ἀμφοτέρους.

## Περὶ χελιδόνος καὶ κριτηρίου.

Πῆξεν χελιδὼν νοσσιὰν κριτηρίου
Ὕπερθεν, ἧσπερ τὴν γένην βλάπτει δράκων·
Ἡ δ' αὖτ' ἔφησεν· ὢ πολυστόνου τύχης!
Ὅπου γὰρ ἐκδίκησις, ἐβλάβην μόνη.

ΕΠΙΜ. Πρὸς τοὺς παθόντας κακὸν ἀπὸ καλῶν ἀνθρώπων.

## Περὶ τριῶν βοῶν ὁμοφώνων, εἶτα ἀσυμφώνων καὶ λέοντος.

Ὁμόφρονες νέμοντο τρεῖς ὁμοῦ βόες,
Οὓς οὐδὲ θὴρ ἔβλαπτε πολλάκις λέων·
Ἔχθρας δὲ μίσει, καὶ μάχης διασχίσας,
Ἕκαστον ἐκβέβρωκε γυμνὸν ὡς ἕνα.

ΕΠΙΜ. Πρὸς τοὺς σχιζομένους ἐκ τῶν ἰδίων, καὶ διὰ τοῦτο κακῶς πάσχοντας.

## Περὶ γεωργοῦ καὶ γεράνου.

Ἔθνει γεράνων πῆξέ τις σπορεὺς πάγην,
Μεθ' ὧν πελαργὸν εἷλεν, ὃς θρήνει μέγα·
Ἔφη δ' ἀροτρεύς· ὡς φίλος μὲν εἶ σύ μοι,
Ἀλλ' ἡ πάγη λαβοῦσα, σὺν κακοῖς σ' ἔχει.

ΕΠΙΜ. Πρὸς φίλον τινὸς, ἐνούμενον τοῖς ἐχθροῖς τοῦ φίλου αὐτοῦ.

## Περὶ κυνὸς καὶ εἰδώλȣ αὐτȣ̃ ἐν τῷ ὕδατι.

Φέρων ποταμȣ̃ πλησίον κύων κρέας,
Κύψας ἑαυτὸν, ἄλλον εἰς ὕδωρ βλέπει.
Χανὼν δὲ λοιπὸν τὸ κάτω λαβεῖν κρέας,
Ἀπεστερεῖτο καὶ τȣ̃, ὃ περ ἐκράτει.
ΕΠΙΜ. Ὅτι ὁ πλεονεκτῶν μᾶλλον ζημιȣ̃ται.

## Περὶ ὄνȣ καὶ ἁλὸς καὶ σπόγγων.

Περῶν ποταμὸν φόρτον ἦγ' ἁλὸς ὄνος,
Ἐν ᾧ τε καὶ πέπτωκε κȣφισθεὶς βάρος·
Σπόγγων δ' ἔπειτα πλῆθος ȣ̃τος ὡς φέρεν,
Πεσὼν ἑκοντὶ, δυστυχῶς ἀπεπνίγη.
ΕΠΙΜ. Ὅτι πολλάκις προσδοκία κέρδȣς εἰς ζημίαν καταντᾷ.

## Περὶ καμήλȣ καὶ Διός.

Κυρτὴ θεὸν κάμηλος ἐξήτει κέρα,
Ἣν ἐξεμηκτήρισε τῆς ἀβελίας·
Ζημοῖ γὰρ αὐτὴν λοιπὸν ὦτα καὶ κάραν,
Ὡς ἂν γε παντάπασιν αἰσχίστη πέλῃ.
ΕΠΙΜ. Ὅτι δεῖ παρὰ τȣ̃ θεȣ̃ αἰτεῖν τὰ προσήκοντα.

## Περὶ λύκȣ καὶ ἀρνός.

Λύκος πρὸς ἄρνα φησὶν, ȣ̓ πρόσθεν σύ μοι
Ὕδωρ τάραττες; ἄρτι γαςρὸς ἐξέφυν,
Καὶ πῶς ὕδωρ τάραττον ἀγνοῶ ποτε·
Θοίνη γένῃ μοι, κἂν θέμις κἂν μὴ θέμις.

ΕΠΙΜ. Πρὸς τȣ̀ς ἀδεῶς φανερῶς ἀδικȣ̃ντας.

## Περὶ δειλȣ̃ κυνηγȣ̃ καὶ ποιμένος.

Δειλὸς κυνηγὸς πρὸς τιν' εἶπε ποιμένα·
Εἴ πȣ λέοντος ἴχνος εἶδες, μοὶ φράσον·
Σοὶ τȣ̃τον, εἶπεν, εἰ θέλεις, δείξω πέλας.
Ἴχνος, κυνηγὸς εἶπεν, ȣ̓ ζητῶ πλέον.

ΕΠΙΜ. Πρὸς ἀνθρώπȣς θρασεῖς πρὸς λόγȣς, καὶ πρὸς ἔργα δειλȣ́ς.

## Περὶ ἱππότȣ καὶ ἀγροίκȣ.

Ἤτει λαβεῖν ἀγροῖκον λαγὼν ἱππότης·
Λαβὼν δὲ χερσὶ τȣ̃τον, ἠρώτα, πόσȣ;
Καὶ πῶλον ἐξήλαυνεν· ἀγροῖκος δ' ἔφη·
Μὴ σπεῦδε, σοὶ δώρημα τȣ̃το προσφέρω.

ΕΠΙΜ. Πρὸς τȣ̀ς ἐξ ἀνάγκης παραιτȣμένȣς τὰ ἴδια.

## Περὶ λύκȣ καὶ ὄνȣ.

Ὀδȣ̃σιν ἧλον εἷλεν ἐξ ὄνȣ λύκος·
Αἰτῶν δὲ μισθὸν, πλήττεται λὰξ τὴν γένην·
Λύκος δέ φησι· πῶς μάγειρος ὢν πάλαι
Ἰατρικῆς μετῆλθον ἔργ᾽ ἀναξίως;

ΕΠΙΜ. Πρὸς τȣ̀ς τὴν ἰδίαν τέχνην καταλιμπάνοντας, καὶ ἑτέραν μετερχομένȣς ἐπὶ βλάβῃ.

## Περὶ λύκȣ καὶ γεράνȣ.

Εἰς λαιμὸν ὀςȣ̃ν ἐμπεπήγει τȣ̃ λύκȣ·
Μισθῷ δ᾽ ἑλὼν γέρανος ἤτει τὴν χάριν·
Σῶον τράχηλον ἐκ λύκȣ λαιμȣ̃ φέρων,
Μηδ᾽ ἄλλο μηδὲν μισθὸν ἢ τȣ̃το σκόπει.

ΕΠΙΜ. Πρὸς τȣ̀ς ἐπικίνδυνον πρᾶξιν ἐγχειρήσαντας, καὶ κατὰ τὸ σύνθημα ζητȣ̃ντας μισθόν.

## Περὶ ταύρȣ καὶ τράγȣ.

Ἤλαυνε ταῦρον ἐξ ἑῆς κοίτης τράγος,
Ὃν θὴρ λέων δίωκεν, εἶπε δὲ ςένων·
Εἴπερ με μὴ λέοντος ἐπτόει φόβος,
Ἔγνως ὅσον ταύρȣ τε καὶ τράγȣ σθένος.

ΕΠΙΜ. Πρὸς τȣ̀ς καταδεχομένȣς ὑβρίζεσθαι ὑπὸ μικρῶν, διὰ φόβον ἑτέρων μειζόνων.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0089-2

## Περὶ μύρμηκος καὶ τέττιγος.

Ἤτει τροφὴν μύρμηκα τέττιξ ἐν κρύει·
Μύρμηξ δ᾽ ἔφησε· τί θέρȣς ὄντος ἔδρας;
Ὡς ἐν θέρει εἴρηκεν ἦδον ὀξέως·
Χειμῶνος ὀρχȣ̃, φησὶ, μὴ τροφῆς ἔρα.
ΕΠΙΜ. Πρὸς τȣ̀ς μὴ θέλοντας ἐν νεότητι κοπιᾷν, καὶ διὰ τȣ̃το ἐν τῷ γήρᾳ πτωχȣ̃ντας.

## Περὶ ὄφεως καὶ γεωργȣ̃.

Ἔθαλπέ τις γεωργὸς ἐν κόλποις ὄφιν
Ὥρᾳ κρύȣς, ἐπεὶ δὲ θέρμης ἤσθετο,
Ἔπληξε τὸν θάλψαντα, κἄκτεινε τάχος.
ΕΠΙΜ. Οὕτως κακοὶ ποιȣ̃σι τȣ̀ς εὐεργέτας.

## Περὶ Κύπριδος καὶ δȣ́λης.

Ἀνδρὸς πόθον μετῆξεν εἰς δȣ́λην Κύπρις·
Ἡ δ᾽ αὖ γ᾽ ἐτίμα τὴν θεὰν καθ᾽ ἡμέραν·
Ἕως καθ᾽ ὕπνȣς φησί μὴ τίμα σύ με·
Τὸν ἄνδρα πημαίνω γὰρ, ȣ̓ ποθῶ σέ γε.
ΕΠΙΜ. Ὀφείλομεν τὸ αἴτιον ϛοχάζεσθαι.

## Περὶ ὄρνεος καὶ αἰλȣ́ρȣ.

Καμȣ̃σαν ὄρνιν εἶδεν αἴλȣρος νόσῳ·
Πρὸς ἣν ἔφησε· πῶς ἔχεις τὰ τῆς νόσȣ;
Τρέμȣσα δ' εἶπεν· εἰ παρέλθης μακρόθεν,
Ζωὴν ὑπέλθω δορκάδων ὑπερτέραν.

ΕΠΙΜ. Φυλάττεσθαι πολεμίων ὑπόκρισιν.

## Περὶ λέοντος καὶ τοξότȣ.

Μάχην λέων συνῆπτεν ἀνδρὶ τοξότῃ·
Βέλει τυπεὶς δὲ, θηρσὶν εἶπε τοιάδε·
Εἰ δή προπομπȣ̀ς εὐπορεῖ τοῖȣς ὅγε,
Τίς αὐτὸς εἴη συςαδὴν ὡρμημένος;

ΕΠΙΜ. Γνωσιμαχεῖν ἐκ πείρας διδασκόμεθα.

## Περὶ κερδȣ̃ς.

Εἰσδῦσα κερδὼ πρὸς δρυὸς κοίλης βάθος
Εὕρισκε δαῖτα ποιμένος, καὶ δὴ φάγεν·
Ὡς μὴ προκύπτειν ἐκ πάχȣς, εἶπεν δέ τις,
Θέλεις προελθεῖν, ὥσπερ εἰσῆλθες γεύȣ.

ΕΠΙΜ. Τὰ ὀλέθρια πάθη ζημίας ἴσας θεραπεύονται.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0091-4

## Περὶ ἀμνȣ̃ καὶ λύκȣ.

Πύργȣ προκύπτων ἀμνὸς ἔσκωπτεν λύκον
Ὡς ἐχθρὸν, ὡς κάκιςον, ὡς μεςὸν φόνȣ.
Ἄνω δὲ βλέψας φησὶν· ȣ̓ σκώπτεις σύ με,
Πυργὸς δ', ὅς ὁπλίζει σε πρὸς θάρσος
μέγα.

ΕΠΙΜ. Καιρῷ μὴ θρασύνεσθαι.

## Περὶ καρκίνȣ καὶ τέκνων.

Ὀρθῶς βαδίζειν, εἶπε καρκῖνος, τέκνον,
Μὴ δή γε λοξὸς τὴν ὁδὸν παρατρέχῃς·
Προῆγε μάτερ, καὶ καθηγȣ̃ τȣ̃ τέκνȣ,
Κἀγὼ βλέπων πρὸς ἕψομαι τὰς σὰς τρίβȣς.

ΕΠΙΜ. Ὃ παραινεῖ τις, ποιείτω.

## Περὶ αἰπόλȣ καὶ αἰγός.

Ῥάβδῳ κατῆξεν αἰγὸς αἰπόλος κέρας,
Ἣ πρὸς πασῶν ἐδεῖτο δακρύων μέγα·
Μὴ δὴ σαφήσοις ταῦτα πρὸς τὸν δεσπότην·
Ἣ δ' αὖ γέ φησι· πλεῖον ἠχήσει κέρας.

ΕΠΙΜ. Φανερὸν ἁμάρτημα μὴ σοφίζεσθαι.

## Περὶ χελώνης καὶ ἀετȣ̃.

Νωθρὴ χελώνη σὺν πτεροῖς ᾔτει δρόμον·
Ὕψȣ δὲ ταύτην αἰετὸς συναρπάσας
Ἔρριψε πέτραις, καὶ θλάσας μόλις δ' ἔφη·
Κρεῖσσον βάρος μοι μᾶλλον, ἢ πτερῶν τάχος.

ΕΠΙΜ. Τȣ̃ ἀδυνάτȣ μὴ ἐρᾷν, τῷ δυνατῷ ὀρέγεσθαι.

## Περὶ λέοντος καὶ κερδȣ̃ς καὶ γεράνȣ.

Ἄγρην γεράνῳ μέριζε καὶ κερδοῖ λέων·
Πρώτην δὲ μοῖραν, εἶπεν, ὡς νομεὺς ἔχω,
Τὴν δευτέραν δὲ, φησὶν, ὡς ἄναξ φέρω·
Τρίτη δ' ὃς ἂν ψαύσειεν ἔργῳ μανθάνοι.

ΕΠΙΜ. Ἀνίσοις κοινωνίαν φυλάττεσθαι.

## Περὶ πτώκων καὶ βατράχȣ.

Θανεῖν ἔθεντο πτῶκες ἢ ζῆν ἐν βίῳ·
Ὡς εὐτελεῖς, ὡς ὄντες ἀδραγεῖς ἄγαν·
Λίμνῃ δ' ἑαυτȣ̀ς ἐμβαλεῖν ἠπειγμένοι
Ἴσχον φυγόντα βατράχῳ θάρσος μέγα.

ΕΠΙΜ. Μὴ ἀπογινώσκειν.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0093-5

## Περὶ δρυός.

Δρῦν ἦγε ῥεῖθρον πνεύμασιν βεβλημένην,
Αὐτὴ δ᾽ ἄλεξι καὶ δόναξι πείθετο,
Πῶς εἰσὶν ὀρθοί; πνεύμασιν θελόμεθα·
Πτῶσις ἐκείνων ἐστὶν ἡμῶν ἡ στάσις.

ΕΠΙΜ. Βίᾳ καιροῦ μὴ ἀντιτάσσεσθαι.

# BABRII
# FABULAE
## QUAEDAM.

### Ζεύς. *)

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
Ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ·
Ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων,
Τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,
Δίηκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους,
Κἀκεῖ πέτεσθαι, τῆς δὲ γῆς ἄνω φεύγειν·
Μόνη δ' ἔμεινεν Ἐλπὶς, ἣν κατείληφε
Τιθὲν τὸ πῶμα· τοίγαρ Ἐλπὶς ἀνθρώποις
Μόνη σύνεστι, τῶν πεφευγότων ἡμᾶς
Ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

### Μύρμηξ καὶ τέττιξ.

Χειμῶνος ὥρᾳ σῖτον ἐκ μυχοῦ σύρων
Ἔψυχε μύρμηξ, ὃν θέρους σεσωρεύκει·

Τέττιξ

*) Huic fabulae in MSto Harlejano superscriptum est: Βαλερίου χωριαμβικοὶ στίχοι ἐκ τῶν Αἰσώπου μύθων. v. Thomae Tyrwhitti dissertationem de Babrio edit. Erlang. 1781. p. 69.

Τέττιξ δὲ τῦτον ἱκέτευσε λειμώττων
Δῦναί τι κ᾽ αὐτῷ τῆς τροφῆς, ὅπως ζήσῃ.
Τί ὖν ἐποίεις, φησὶ, τῷ θέρει τύτῳ;
Οὐκ ἐσχόλαζον, ἀλλὰ διετέλυν ᾄδων.
Γέλασε δὲ μύρμηξ, τόν τε πυρὸν ἐγκλείων,
Χειμῶνος ὄρχϋ, φησὶν, εἰ θέρυς ἦσαι.

## Λύκος καὶ ἀμνός.

Λύκος παρήει τρίγχον, ἔνθεν ἐκκύψας
Ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως·
Κἀκεῖνος εἶπε, τὰς σιαγόνας πρίων·
Ὦταν, ὁ τόπος με λοιδορεῖ, σὺ μὴ καυχῶ.

## Πάρδαλις καὶ ἀλώπηξ.

Στικτὴ πότε πάρδαλις φορεῖν ἐκαυχᾶτο
Ζώων ἁπάντων ποικιλοτέραν δέῤῥιν·
Πρὸς ἣν ἀλώπηξ εἶπεν· ἀλλ᾽ ἐγώ σῦ τῆς
Δορᾶς ἔχω γε ποικιλωτέραν γνώμην.

## Κώνωψ καὶ ταῦρος.

Κώνωψ ἐπιπτὰς κέρατι καμπύλῳ ταύρυ,
Μικρὸν δ᾽ ἐπισχὼν, εἶπε ταῦτα βομβήσας·
Εἴ σῦ βαρύνω τὸν τένοντα καὶ κλίνω,
Κατεδῦμ᾽ ἀπελθὼν ποταμίαις ἐν αἰγείροις·

Ὁ δ', ου μέλει μοι, φησὶν, οὔτ' ἐὰν μίμνης,
Οὔτ' ἂν ἀπέλθης· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν.

## Γάλλοι καὶ ὄνος.

Γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη
Ὄνος τις οὐκ εὔμοιρος, ἀλλὰ δυσδαίμων,
Ὅστις φέρῃ πτωχοῖσι καὶ πανέργοισι
Πεινῆς ἄκος δίψης τε καὶ κακὴν τέχνην.
Οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους κώμην
Περιιόντες ἐλέγοντο· τίς γὰρ ἀγροίκων
Οὐκ εἶδεν Ἄττιν λευκὸν, ὡς ἐπηρώθη;
Τίς οὐκ ἀπαρχὰς ὀσπρίων τε καὶ σίτων
Ἁγνῷ φέρειν δίδωσι τυμπάνῳ Ῥείης;

## Ἀηδὼν καὶ χελιδών. *)

Ἀγροῦ χελιδὼν μακρὰν ἐξεπωτήθη,
Εὗρεν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
Ἀηδόν' ὀξύφωνον· ἡ δ' ἀπεθρήνει
Τὸν Ἴτυν ἄωρον ἐκπεσόντα τῆς ζωῆς·
Χ' ἡ μὲν χελιδών φησι· φιλτάτη χαίροις·
Πρῶτιν βλέπω σε σήμερον μετὰ Θρᾴκην.
Ἀλλ'

*) Hanc fabulam a vulgo Gabriae ſive Ignatio Diacono tributam Babrio ex ſententia Tyrwhitti reſtituimus.

Ἀλλ᾽ ἔλθ᾽ ἐς ἀγρὸν, καὶ πρὸς οἶκον ἀνθρώπων·
Σύσκηνος ἡμῖν καὶ φίλη κατοικήσεις,
Ὅπου γεοργοῖς κ᾽ οὐχὶ θηρίοις ᾄσεις.
Τὴν δ᾽ αὖτ᾽ ἀηδὼν ὀξύφωνος ἠμείφθη·
Ἔα με πέτραις ἐμμένειν ἀοικήτοις·
Οἶκος δέ μοι πᾶς, ἥ τε μίξις ἀνθρώπων
Μνήμην παλαιῶν συμφορῶν ἀναφλέξει.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0098-4

154832

HB 154832

ULB Halle 3
006 202 73X

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0099-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0100-0

Inches Centimetres 1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 16 17 18 19
Farbkarte #13 B.I.G.
Blue Cyan Green Yellow Red Magenta White 3/Color Black

2

# ANTONINI LIBERALIS TRANSFORMATIONUM CONGERIES GRAECE

CUM

GABRIAE SEU IGNATII DIACONI

FABULIS JAMBICIS TETRASTICHIS

ET

BABRII NONNULLIS

IN USUM SCHOLARUM

EDIDIT

LUDOVICUS HENRICUS TEUCHERUS.

LIPSIAE,
APUD GUILIELMUM GOTLOB SOMMER
M D C C X C I.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-643713-p0101-6
DFG